Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

N

10.1.6.3


EX LIBRIS
GILBERT
MURRAY
VERITAS LIBERA-BIT
DOMI NUS ILLU MINA TIO MEA
BONITAS REGNA-BIT
E.H.NEW

302971479%

Gilbert Murray

# ΑΓΑΜΕΜΝΩΝ

# AESCHYLI

# AGAMEMNO.

EMENDAVIT

DAVID S. MARGOLIOUTH,

COLL. NOV. OXON. SOC.

LONDINI:

PROSTAT APUD MACMILLAN ET SOCC.,

1884.

*Ius suum autori integrum manet.*

GLASGOVIAE:
IMPRESSIT ROBERTUS MACLEHOSE,
TYPOGRAPHUS ACADEMICUS,
153 WEST NILE STREET.

LIBRARY
OF
CLASSICAL
LITERATURE
OXFORD

# ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΦΥΛΑΞ.
ΧΟΡΟΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΤΑΛΘΥΒΙΟΣ ΚΗΡΥΞ.
ΑΓΑΜΕΜΝΩΝ.
ΚΑΣΑΝΔΡΑ.
ΑΙΓΙΣΘΟΣ.

## CLAVIS ANNOTATIONIS CRITICAE.

LITTERAE S. S. *Studia* nostra *Scenica*, L. A. GUILELMI DINDORFII *Lexicon Aeschyleum* lectorem evolvere iubent. *intra* lemmata scriptura est emendata cum nomine inventoris sui; cui nomen nullum appositum est scito editorem invenisse. *extra* lemmata vulgatam scripturam describendam curavi; *vulgatam* autem eam dico quam vestigia codicum premens KIRCHHOFFIUS anno MDCCCLXXX. edidit, nisi si quas coniecturas criticorum, quod raro fecit, recepit editor Berolinensis. commentarium scribere non est nostri consilii, perpolitam, uti speramus, orationem locum commentarii explere credentium. neque PRICKARDI nostri agrum decebat occupare.

# ΑΓΑΜΕΜΝΩΝ.

---

ΦΥΛΑΞ.

Θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,
φρουρᾶς, ἔτειον μῆκος ἣν κοιμώμενος
στέγαις Ἀτρειδῶν ἀνέκαθεν, κυνὸς δίκην,
ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι
ἀστέρες ὅταν φθίνωσιν, ἀντολαῖς τε τῶν·
καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν,
ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κυρεῖ
γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ.
εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω

---

2. ἔτειον] ἐτείας, solito errore. Cf. S. S. p. 7.

3. ἀνέκαθεν] ἄγκαθεν, de quo cfr. J. Schmidtius in K. Z. 25.

7. ἀστέρες—ἀντολαῖς] ἀστέρας—ἀντολάς. Pleiadas dicit. rationem mutationis dabit Aratus ap. Athen. 490 *a*—

αἳ μὲν ὁμῶς ὀλίγαι καὶ ἀφεγγέες ἀλλ' ὀνομασταὶ
ἦρι καὶ ἑσπέριαι Ζεὺς δ' αἴτιος, εἱλίσσονται·
ὅς σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο
σημαίνειν ἐπένευσε.

Moero *ibid.* 491 *b*—

ὡς δ' αὔτως τρήρωσι πελειάσιν ὤπασε τιμὴν
αἳ δή τοι θέρεος καὶ χείματος ἄγγελοί εἰσιν.

Cic. Progn. 356, *fugiet cum lucida visus Pleias.* Arati locum sic interpretatur Avienus 606 sq. modus ollis parcus et ignis vix tenui longe face fit spectabilis. istas *alterno redeunt cum bina crepuscula mundo seu nox astrales adolet cum caerula flammas, seu matutinus cum sidera disicit ortus, convolvi caelo* summae pater annuit aethrae.

10. κυρεῖ] κρατεῖ. 'Nam sic (scilicet Troiam mox captum iri) sperat γ. α. κ.'

εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην—
ἐμῇ φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ,
τὸ μὴ βεβαίῳ βλέφαρα συμβαλεῖν ὕπνῳ—
ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
κλαίω τότ' οἴκου τοῦδε συμφορὰν στένων,
οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου.
νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων
εὐαγγέλου φανέντος ὀρφναίου πυρός.
ὦ χαῖρε λαμπτὴρ νυκτός, ἡμερήσιον
φάος πιφαύσκων καὶ χορῶν κατάστασιν
πολλῶν ἐν Ἄργει, τῆσδε συμφορᾶς χάριν.
ἰοὺ ἰού.
Ἀγαμέμνονος γυναικὶ σημανῶ τορῶς,
εὐνῆς ἐπαντείλασαν ὡς τάχος, δόμοις
ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι
ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις
ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει·
αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι.
τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι
τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.
γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα
ἄνακτος οἴκων τῇδε βαστάσαι χερί.
τὰ δ' ἄλλα σιγῶ, βοῦς ἐπὶ γλώσσῃ μέγας

---

14. ἐμῇ] ἐμὴν. Cfr. Xen. Anab. 2. 4. 3, ἵνα καὶ τοῖς ἄλλοις Ἕλλησι φόβος εἴη μὴ στρατεύειν.

15. βεβαίῳ] βεβαίως.

16. δοκῶ 'videat' esse propter quorundam errorem monendum est.

17. *τέμνειν φάρμακον*, dicit Plato in Legibus; 919 b. *τούτων οὖν χρὴ φάρμακον ἀεὶ τέμνειν τὸν νομοθέτην.* 836 b. *τί τεμὼν φάρμακον τοῦ τοιούτου κινδύνου φάρμακον εὑρήσει*: *ἐντέμνειν* Aeschylus sicut *ἐνδατεῖσθαι* Nicander Ther. 509.

19. *διαπονουμένου curati.* Cf. Od. ρ. 320, *δμῶες δ' εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες, οὐκέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι.* Plato Legg. 846 D, 847 A.

36. βοῦς ἐπὶ γλώσσῃ βέβηκεν. puto βοῦν huius proverbii verius βῦν scribendum fuisse, h. e. hebr. *būs*, Gr. *βύσσον*, linum quo res *farciebant*, unde *βύειν*, ni fallor, originem traxit. (Aristoph. Vesp. 128, *ὅσ' ἦν τετρημένα ἐνεβύσαμεν ῥακίοισι.*) Vocabulum detorsit vulgaris quam vocant, etymologia fortasse a Pythagora instituta. Cf. Pac. 645, *χρυσίῳ τῶν ταῦτα ποιούντων ἔβυουν τὸ στόμα.* Hippocr. 588. 41. Od. δ. 134.

βέβηκεν· οἶκος δ' αὐτὸς, εἰ φθογγὴν λάβοι,
σαφέστατ' ἂν λέξειεν. ὡς ἑκὼν ἐγὼ
μαθοῦσιν αὐδῶ, κοὐ μαθοῦσι λήθομαι.

ΧΟΡΟΣ.

δέκατον μὲν ἔτος τόδ' ἐπεὶ Πριάμου
μέγας ἀντίδικος,
Μενέλαος ἄναξ ἠδ' Ἀγαμέμνων,
διθρόνου Διόθεν καὶ δισκήπτρου
τιμῆς ὀχυρὸν ζεῦγος Ἀτρειδᾶν,
στόλον Ἀργείων χιλιοναύταν
τῆσδ' ἀπὸ χώρας
ἦραν, στρατιῶτιν ἀγωγὰν,
μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη,
τρόπον αἰγυπιῶν,
οἵτ' ἐκπαγλοις ἄλγεσι παίδων
ἐπάνω λεχέων στροφοδινοῦνται,
πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,
δεμνιοτήρη
πόνον ὀρταλίχων ὀλέσαντες·
ὕπατος δ' ἀΐων ἤ τις Ἀπόλλων
ἢ Πὰν, ἢ Ζεὺς, οἰωνόθροον
γόον ὀξυβόαν,
τῶνδε μετοίκων ὑστερόποινον
πέμπει παραβᾶσιν Ἐρινύν.
οὕτω δ' Ἀτρέως παῖδας ὁ κρείσσων
ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος
Ζεὺς, πολυάνορος ἀμφὶ γυναικὸς
πολλὰ παλαίσματα καὶ γυιοβαρῆ

---

44. ὀχυρὸν, gerens.
47. ἀγωγὰν] ἀρωγάν.
50. ἐκπάγλοις] ἐκπατίοις, quod nihili est. Cf. inf. 836, ἔκπαγλον κακόν. Nic. Ther. 445, καὶ ἢν ἔκπαγλα χαλεφθῇ. Soph. El. 204, ἔκπαγλ' ἄχθη. Od. ε. 340, ὠδύσατ' ἐκπάγλως. Il. B. 223, τῷ δ' ἄρ' Ἀχαιοὶ ἐκπάγλως κοτέοντο. Call. Dei. 247. *Vide* S. T. in v., ubi iisdem nugis Hippocratem donare grammaticos discimus.
51. ἐπάνω] ὕπατοι. fefellit librarium initium v. 55, male affert Dindorfius Tim. Locr. 100 A, ὑπηρετεῖν τούτῳ καθάπερ ὑπάτῳ τῷ σκάνεος ἅπαντος, ubi ὑπάτῳ 'principi' valet sicut mox v. 509.
54. πόνον, cfr. v. 1418.
58. μετοίκων, cfr. v. 1245.

γόνατος κονίαισιν ἐρειδομένου
διακναιομένης τ' ἐν προτελείοις
κάμακος θήσων Δαναοῖσι
Τρωσί θ' ὁμοίως. ἔστι δ' ὅπη νῦν
ἔστι· τελεῖται δ' ἐς τὸ πεπρωμένον·
οὔθ' ὑποκαίων οὔτ' ἐπιλείβων
οὔτε δακρύων ἀπύρων ἱερῶν
ὀργὰς ἀτενεῖς παραθέλξει.
ἡμεῖς δ' ἄτιτοι σαρκὶ παλαιᾷ
τῆς τότ' ἀγωγῆς ὑπολειφθέντες
μίμνομεν ἰσχὺν
ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις.
ὅ τε γὰρ νεαρῶν μυελὸς στέρνων
ἐντὸς ἀνάσσων
ἰσόπρεσβυς, Ἄρης δ' οὐκ ἔνι χωρεῖν,
ὅ θ' ὑπεργήρως φυλλάδος ἤδη
κατακαρφομένης τρίποδας μὲν ὁδοὺς
στείχει, παιδὸς δ' οὐδὲν ἀρείων,
ὄναρ ἡμερόφαντον ἀλαίνει.
σὺ δὲ, Τυνδάρεω
θύγατερ, βασίλεια Κλυταιμνήστρα,
τί χρέος; τί νέον; τί δ' ἐπαισθομένη,
τίνος ἀγγελίας
πειθοῖ περίπεμπτα θύος καινοῖς;
πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
ὑπάτων, χθονίων,
τῶν τ' οὐρανίων τῶν τ' ἀγοραίων
βωμοὶ δώροισι φλέγονται·

---

69. ὑποκαίων Casaubonus] ὑποκλαίων. ἐπιλείβων] ὑπολείβων. ἐπιλείβων, necessarium est. neque enim vinum *subter* sed *super* 'fundunt ardentibus entis.' nulla vi sacrificium adolere potest *Alexander*; patebat dei mentem aversam esse; cf. Wunderus ad Antig. 1006.

73. ἀγωγῆς] ἀρωγῆς.

76. νεαρῶν] νεαρός.

78. χωρεῖν] χώρᾳ. Praeterea nomen Ἄρης e radice *er* fluit, cuius brevissimam formam ἀρ esse docuit De Saussure. 'χωρεῖν in re militari frequentem usum habet,' S. T. viii. 1802.

79. ὅ θ'] τίθ'.

87. περίπεμπτα invenitur etiam Suppl. 878, vide S. S. p. 179. θύος καινοῖς] θύοσκινεῖς. καινοῖς restitui ex 597, θυηφάγον καινοῦντες εὐώδη φλόγα, ubi καινοῦντες pro κοιμῶντες scribendum esse monet loci sententia. redde *instauras*.

ἄλλη δ' ἄλλοθεν οὐρανομήκης
λαμπὰς ἀνίσχει,
φαρμασσομένη χρίσματος ἁγνοῦ
μαλακαῖς ἀδόλοισι παρηγορίαις,
πελάνῳ μυχόθεν βασιλείῳ.
τούτων λέξαι σ' ὅ τι καὶ δυνατὸν
καὶ θέμις αἰνῶ,
παίων τε γενοῦ τῆσδε μερίμνης,
ἣ νῦν τοτὲ μὲν κακόφρων τελέθει,
τοτὲ δ' ἐκ θυσιῶν ἀγανὰ φαίνουσ'
ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον
τὴν θυμοφόρον φρένα λυπεῖν
Κύριός εἰμι θροεῖν ὅδιον τέρας αἴσιον, ἀνδρῶν στρ.
ἐκ τελέων—ἔτι γὰρ θεόθεν καταπνεῖ μοι
πειθὼ μολπὰν,
ἀλκὰν σύμφυτος αἰὼν—
ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας
σώφρονα ταγὸν,
πέμπει ξὺν δορὶ πράκτορι νίκας
θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν,
οἰωνῶν βασιλεὺς βασιλεῦσι νεῶν, ὁ κελαινὸς, ὅ τ'
ἐξόπιν ἀργᾶς,
φανέντες ἴκταρ μελάθρων, χερὸς ἐκ δοριπάλτου,
παμπρέπτοις ἐν ἕδραισι,

---

97. λέξαι σ'] λέξασ'.

98. αἰνῶ] αἰνεῖν. Cfr. L. A. ad v.

103. τὴν θυμοφόρον φρένα λυπεῖν] τῆν θυμοφθόρον λύπης φρένα.

104. τέρας] κράτος qui peranti-quus error esse potest, error tamen manifestus, sicut et causa eius: nam etiamsi sententiam aliquam praeberet κράτος (quam nullam omnino praebet) tamen proper v. 109, non ferendum esset.

105. ἐκ τελέων] ἐκτελέων, sensus est: 'mihi uni ex patribus familiarum fas est prodigium dicere'; ἀνδρῶν τελέων ut ἀνδρὸς τελείου, v. 972, dictum. Canebant autem plerumque ἤθεοι de quo, cf. S. S. p. 15. καταπνεῖ μοι] καταπνέει. καταπνεῖν cum dativo coniungit Archestratus ap. Athen. 5 c, ὀρφὼν μὴ τέμνειν μὴ σοι νέμεσιν θεόθεν καταπνείῃ. Aelian. N. A. 12. 7.

107. ἀλκὰν audaciam. Cf. v. 857, ἐν χρόνῳ δ' ἀποφθίνει τὸ τάρβος ἀνθρώποισιν.

110. σώφρονα ταγὸν] ξύμφρονα τὰν γᾶν. Cf. v. 41, μέγας ἀντίδικος, de duobus dictum.

111. πράκτορι νίκας] δίκας τράκτορι. νίκης pro δίκης scriptum est v. 1378.

115. ἀργᾶς Blomfieldus] ἀργίας.

βοσκόμενοι λαγίνας ἐρικύμονι φέρματι γέννας,
βλαβέντι λοισθίων δρόμων
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.
Κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασι δισσοὺς ἀντ.
Ἀτρείδας μαχίμους, ἐδάη λαγοδαίτας·
πομπᾶς τ' ἀρχοῖς
οὕτως εἶπε τεράζων·
χρόνῳ μὲν αἱρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
πάντα δὲ Τευκρῶν
κτήνη πρόσθε τὰ μυριοπληθῆ
μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον.
οἷον μή τις ἄγα θεόθεν κνεφάσῃ ποτ' ἐπὶ στόμιον μέγα Τροίας
στρατευθέν. εἰκοῖ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνά,
πτανοῖσιν κυσὶ πατρὸς
αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισι·

---

119. λαγίνας ἐρικύμονι φέρματι γέννας] λαγίναν ἐρικύματα φέρματα γένναν. sed quis βόσκομαι cum accus. coniunctum vidit? tum ἐρικύμων *fecundus* est, coll. Hippocr. de aere § 5, αἵ τε γυναῖκες αὐτόθι ἐρικύμονές εἰσι λίαν καὶ τίκτουσι ῥηιδίως [ubi ἀνερικύμονες posuit Littraeus utraque lectione ab ἐρι- et ab ἀρι- incipiente male conflata].

120. βλαβέντι] βλαβέντα.

124. πομπᾶς τ' ἀρχοῖς] πομποὺς τ' ἀρχάς.

126. αἱρεῖ Blomfieldus] ἀγρεῖ.

127. Τευκρῶν] πύργων inepte.

129. μυριοπληθῆ] δημιοπληθῆ vocabulum commenticium, quod recte interpretatur auctor Thesauri *publice abundans; sic enim utcunque exprimas.* namque ut *publice abundans* nihil est, sic δημιοπληθῆ. scripsi μυριοπληθῆ quo usi sunt Euripides I. A. 571, et Anaxandrides ap. Athen. 131 B. imitatur versus Homericos I. 401, οὐδ' ὅσα φασὶν Ἴλιον ἐκτῆσθαι εὐναιόμενον πτολίεθρον τὸ πρὶν ἐπ' εἰρήνης πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.

131. ἄγα Hermannus] ἄτα. ποτ' ἐπὶ] προτυπέν inepte. verba in -άζω desinentia plerumque intransitivam significationem habere docuit Lobeckius ad Ai. 268. tum προτυπὲν *ubi eruptum fuerit* valeret. quid autem est *caligare frenum?* quis sic loquitur translationibus absurde mixtis? *nubilus ira* posuit Stat. Theb. 3. 230.

135. στρατευθὲν] στρατωθὲν verbum et commenticium et ineptum. Namque illud vult: postquam debellatum erit. εἰκοῖ] οἴκῳ. Cf. Eur. Hel. 73, εἰκώ, 77 εἰκοῦς. εἰκὼν dicuntur *canes exercitus.* haec ἀγὰ ad interitum Agamemnonis, non Iphigeniae referenda. Miror Xenophontem idem omen felicissimum vocasse, Cyr. 2. 4. 21.

*στυγεῖ δὲ δεῖπνον ἀετῶν.*
*αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὐ νικάτω.*
*Ὅσονπερ εὔφρων ἁπαλὰ* ἐπ.
*δρόσοισι λεπτοῖς μαλερῶν λεόντων,*
*πάντων τ' ἀγρονόμων φιλομάστοις*
*θηρῶν ὀβρικάλοισιν ἕρπει*
*τούτων αἰτεῖ ξύμβολα κρῖναι,*
*δεξιὰ μὲν, κατάμομφα δὲ στρουθῶν.*
*ἰῆον δὲ καλῶ Παιᾶνα,*
*μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενῆδας ἀπλοίας*
*τεύξῃ σπευδομένα θυσίαν ἑτέραν, ἄνομόν τιν', ἄδαιτον,*
*νεικέων τέκτονα συμφύτων,*
*οὐ δεισήνορα. μίμνει γὰρ φοβερὰ παλινόρσους*
*οἰκονόμος δολία, μνάμων μῆνις τεκνόποινος.*
*τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξε*
*μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις·*
*τοῖς δ' ὁμόφωνον*
*αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.*
*Ζεὺς—ὅστις ποτ' ἐστὶν, εἰ τόδ' αὐ-* στρ. ά.
*τῷ φίλον κεκλημένῳ,*
*τοῦτό νιν προσεννέπω.*
*οὐκ ἔχω προσεικάσαι,*

---

140. *ὅσονπερ* quatenus] *τόσσον περ*, contra metrum et omnia. Cf. Eur. Hel. 74, *θεοί δ' ὅσον μίμημ' ἔχεις Ἑλένης ἀποπτύσειαν.* 481. *ἁπαλὰ*] *καλά.* cum ipsa *tenera* sit (cf. hymni Homeri Callimachique tum Horatii *Dianam tenerae dicite virgines*) tenera animalia fovet.

141. *λεπτοῖς*] *ἀέπτοισι*, vel nugas huiusmodi.

142. *ἕρπει*] *τερπνά.* *ἕρπει*, i. q. *venit* Juvenalis 7. 29, *ἥκει* Sophoclis *ἀλλὰ θεοῖς ἔχθιστος ἥκω* et similia.

143. *ὀβρικάλοισι.* puto *ὄβριον* idem esse quod Armenium *Koriun* 'le petit d'un animal quelconque' (cum *ὀ* prosthetico) secundum legem quam in Armeniacis evolvemus.

144. *κρῖναι* Hermannus] *κρᾶναι.*

145. delevi vocem ineptam *φάσματα*, quae ante *στρουθῶν* legitur.

146. *ἰῆον* scripsi pro *ἰήϊον.*

152. *συμφύτων*] *σύμφυτον.*

154. *παλινόρσους*] *παλίνορσος*, 'reduces manet.' *παλίνορσος* *redux* est, quod ex exemplis in Thesauro allatis discas. Empedocles: *αὖταρ ἐγὼ παλινορσος ἐλεύσομαι ἐς πόρον ὑμῶν* *revertar*. Apollon. 1. 416, *ἄγε νῆα σὺν ἀρτεμέεσιν ἑταίροις κεῖσέ τε καὶ παλίνορσον ἐς Ἑλλάδα.* Cf. 1603.

163. *προσεικάσαι*, sc. quis sit. tum coniunge *ἀποβαλεῖν*. si inane pondus cogitationis (sc. de natura Dei) vere me excutere decet.

πάντ' ἐπισταθμώμενος,
πλὴν Διός, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος
χρὴ βαλεῖν ἐτητύμως.
Οὐδ' ὅστις πάροιθεν ἦν μέγας, ἀντ. α΄.
παμμάχῳ θράσει βρύων,
οὐδ' ἐλέγξεται πρὶν ὤν,
ὃς δ' ἔπειτ' ἔφυ, τρια-
κτῆρος οἴχεται τυχών.
Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων,
τεύξεται φρενῶν τὸ πᾶν·
'Τὸν φρονεῖν βροτοὺς ὁδώ- στρ. β΄.
σαντα, τὸν 'πάθει μάθος'
θέντα κυρίως ἔχειν.'
στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας
μνησιπήμων πόνος· καὶ παρ' ἄ-
κοντας ἦλθε σωφρονεῖν.
δαιμόνων δέ που χάρις βίαιος
σέλμα σεμνὸν ἡμένων.
Καὶ τόθ' ἡγεμὼν ὁ πρέσ- ἀντ. β΄.
βυς νεῶν 'Αχαϊκῶν,
μάντιν οὔτινα ψέγων,
ἐμπαίοις τύχαισι συμπνέων,
εὖτ' ἀπλοίᾳ κεναγγεῖ βαρύ-
νοντ' 'Αχαϊκὸς λεώς,
Χαλκίδος πέραν ἔχων

---

165. τὸ Pauwius] τόδε.

170. οὐδ' ἐλέγξεται, non satis constat eum omnino fuisse] οὐδὲν λέξαι.

182. βίαιος Turnebus] βιαίως.

188. κεναγγεῖ vox apud medicos vulgatissima vacuitatem vasorum corporis notans, quam Aeschylus pulcre ad vacuitatem *navium* transtulit. procella enim *naves* vacuabat. eodem sensu ἀγγέων, v. 197, posuit. placet exempla aliquot huius vocis apponere. Hippocratis Littraei 2, p. 246, οὐδεμίῃ ἡμέρῃ κενεαγγητέον. 248, ὁκόσον ἕνεκεν τοῦ ἔθεος ἐσιέναι τι καὶ κενεαγγίην μὴ γενέσθαι πολλήν. 276, προκενεαγγήσαντα ἄρξαι τοῦ ῥοφήματος. 290, 292, 294, 296, 306, 308, 310, 312.

190. παλιρροθίοις] παλιρρόθοις· Voce παλιρροθίοις usi sunt Homerus ε. 430 (παλιρρόθιον δέ μιν αὖθις [κῦμα] πλῆξεν ἐπεσσύμενον), Ap. Rhod. i. 1170 (ἄλλο δὲ πόντος [τρύφος] κλύζε παλιρροθίοισι φέρων), Aratus, eo quod est παλιρροθος nemo. tum illud noverunt Grammatici, hoc ignorant.

παλιρροθίοις ἐν Αὐλίδος τόποις,
Πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι στρ. γ'.
κακόσχολοι, νήστιδες, δύσορμοι
βροτῶν ἆλαι, νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς,
παλιμμήκη χρόνον τιθεῖσαι,
τρίβᾳ κατέξαινον ἄνθος ἀγγέων·
ἐπεὶ δὲ καὶ πικροῦ
χείματος ἄλλο μῆχαρ
βριθύτερον πρόμοισι
μάντις ἔκλαγξεν, προφέρων
Ἄρτεμιν, ὥστε χθόνα βά-
κτροις ἐπικρούσαντας Ἀτρεί-
δας δάκρυ μὴ κατασχεῖν·
Ἄναξ δ' ὁ πρέσβυς τότ' εἶπε φωνῶν· ἀντ γ'.
'βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι·
βαρεῖα δ' εἰ τέκνον δαΐξω, δόμων ἄγαλμα,
μιαίνων παρθενοσφάγοισιν
ῥείθροις πατρῴους χέρας βωμοῦ πέλας.
τί τῶνδ' ἄνευ κακῶν;
πῶς λιπόναυς γένωμαι,
ξυμμαχίας ἐμαυτοῦ;
παυσανέμου γὰρ θυσίας
παρθενίου θ' αἵματος ὀρ-
γᾷ περιόργῳ σφ' ἐπιθυ-
μεῖν θέμις. εὖ γὰρ εἴη.'
Ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον· στρ. δ'.
φρενὸς πνέων δυσσεβῆ τροπαίαν
ἄναγνον, ἀνίερον, τόθεν
τὸ παντότολμον φρονεῖν μετέγνω.
βροτοῖς θρασύνει γὰρ αἰσχρόμητις

---

195. νεῶν τε καὶ Porsonus] ναῶν καὶ.

197. ἀγγέων navium, *the vessels*] Ἀργείων, contra metrum. Tum procella naves conterebat, non homines.

205. τότ'] τόδ'.

213. ἐμαυτοῦ] ἁμαρτών, quod nullam vim habet quum utique ἁμαρτάνων dici debuerit. nam *iure societatis violato* quod quidam interpretantur sic Graece dici non potest.

216. περιόργῳ σφ'] περιόργως, sed σφέ necessarium est. Cf. S S. p. 9, Schömannus itidem.

218. Sed postquam firmavit animum ad dimittendum exercitum, rursus mutavit illud consilium.

τάλαινα παρακοπὰ πρωτοπήμων.
ἔτλα δ' οὖν θυτὴρ γενεσ-
σθαι θυγατρὸς γυναικοποί-
νων πολέμων ἀγωγὰν
καὶ προτέλεια ναῶν·
Λιτὰς δὲ καὶ κληδόνας πατρῴους ἀντ. δ'.
παρ' οὐδὲν αἰῶνα παρθένειόν τ'
ἔθεντο φιλόμαχοι βραβῆς,
φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν,
δίκαν χιμαίρας ὕπερθε βωμοῦ
πέπλοισι περιπετῆ, παντὶ θυμῷ
προνωπῆ λαβεῖν ἀέρ-
δην, στόματός τε καλλιπρῴ-
ρου φιλακὰν κατασχεῖν
φθόγγον ἀραῖον οἴκοις,
Βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει. στρ. ε'.
κρόκου βαφὰς δ' ἐς πέδον χέουσα
ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει
φιλοίκτῳ, πρέπουσά θ' ὡς ἐν γραφαῖς, προσεννέπειν
θέλουσ'· ἐπεὶ πολλάκις
πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους
ἔμελψεν, ἁγνᾷ δ' ἀταύρωτος αὐδᾷ πατρὸς
φίλου τριτόσπονδον εὔποτμον παι-
ᾶνα φίλως ἐτίμα.
Τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω· ἀντ. ε'.
τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
δίκα δὲ τοῖς μὲν παθοῦσιν μαθεῖν ἐπιρρέπει
ὁ μέλλων δ' ἐπεὶ γένηται κλέος, προχαιρέτω
ἴσον δὲ τὸν προστένειν·

---

226. ἀγωγάν] ἀρωγὰν.

244. ἁγνᾷ Hermannus] ἁγνά.

245. παιᾶνα] αἰῶνα, Hartungus monente metro et Athenaeo.

250, 1. Hi versus sic traditi sunt: τὸ μέλλον τὸ δὲ προκλύειν ἐπιγένοιτ' ἂν κλύοις προχαιρέτω ἴσον δὲ τῷ προστένειν, ex qua farragine disiecti membra poetae non difficile construuntur, *qui gavisurus est allato nuntio de excidio Troiae is iam nunc gaudeat; alium autem par est iam nunc lugere. veniet enim luce clarior.* 'Alius' is est quem contristatura est Troia capta sive victor Agamemno. opponuntur inter se προχαίρειν et προστένειν sicut in Plat. Phileb. 39 D. τὸ προχαίρειν τε καὶ προλυπεῖσθαι περὶ τὸν μέλλοντα χρόνον εἶναι γιγνόμενον. κλέος nuntius est sicut v. 487.

τορὸν γὰρ ἥξει σύνορθρον αὐγαῖς·
πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὔπραξις, ὡς
θέλει τόδ' ἄγχιστον Ἀπίας γαί-
ας μονόφρουρον ἕρκος.
ἥκω σεβίζων σὸν, Κλυταιμνήστρα, κράτος·
δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου.
σὺ δ' εἴτι κεδνὸν εἴτε μὴ πεπυσμένη
εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,
κλύοιμ' ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εὐάγγελος μὲν, ὥσπερ ἡ παροιμία,
ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα.
πεύσει δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν.
Πριάμου γὰρ ᾑρήκασιν Ἀργεῖοι πόλιν.

ΧΟΡΟΣ.

πῶς φῄς; πέφευγε τοὔπος ἐξ ἀπιστίας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τροίαν Ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω,

ΧΟΡΟΣ.

χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ.

ΧΟΡΟΣ.

τί γὰρ τὸ πιστόν; ἔστι τῶνδέ σοι τέκμαρ;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔστιν· τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ.

---

254. *σύνορθρον* Wellauer] *συνορθὸν*. *αὐγαῖς* Hermannus] *αὐταῖς*.

272. Adiecta post *πιστόν* nota; versui sensum dedi. Obiter moneo *τέκμαρ* vulgo a *τέκ*-male deduci, quod idem est atque Aethiopicum *teqem* litteris emphaticis detrusionem sonorum aspernantibus; unde fractum est arabicum *taHm terminus.* totam rem in Aryo-Semiticis persequemur.

ΧΟΡΟΣ.

πότερα δ' ὀνείρων φάσματ' εὐπειθῆ σέβεις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐ δόξαν ἂν σέβοιμι βριζούσης φρενός.

ΧΟΡΟΣ.

ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

παιδὸς νέας ὣς κάρτ' ἐμωμήσω φρένας.

ΧΟΡΟΣ.

ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης λέγω.

ΧΟΡΟΣ.

και τις τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας,
φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πρόσω.
ἔπεμπεν Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον
Ἄθῳον αἶπος Ζηνὸς ἐξεδέξατο,

275. σέβοιμι] λάβοιμι.

276. ἄπτερος φάτις verbum quod casu dictum accipit is qui audit; sicut 1653, δεχομένοις λέγεις θανεῖν σε. ἄπτερον, ut Homericus ἄπτερος μῦθος idcirco appellatum quod haeret, non avolat. prorsus simili ratione locutus est Vergilius A. vii. 119, *primamque loquentis ab ore* eripuit, *pater ac stupefactus numine* pressit. idem A. i. 63, Graecam φήμην imitans; *feret haec aliquam tibi* fama *salutem*.

282. ἀγγάρου, E. M. p. 7] ἀγγέλου, specimen fidei. caeterum parum intellexit Etymologus Aeschylum cui ἀπ' ἀγγάρου, i. q. ἀπὸ σταθμοῦ est. Etymol. ibid. ἔλεγον δὲ καὶ τοὺς σταθμοὺς ἄγγαρα. ἀπ' ἀγγάρου (ab ἄγγαρον) verbo Ἴδης respondet. huius quoque etymon suppeditat lingua Aethiopica per *'eger* quod *pes* est. ἄγγαρος ergo *minister a pedibus* sive *regis pes.* πρόσω] πυρὸς quod verbum librarii miro favore prosequuntur.

ὑπερτελής τε, πόντον ὥστε νωτίσαι,
ἰσχὺς πορευτοῦ λαμπάδος, πρὸς ἡδονήν,
κεύθει τὸ χρυσοφεγγὲς ὥς τις ἥλιος
σέλας, παραγγείλασα Μακίστου σκοποῖς·
ὁ δ' οὔτι μέλλων οὐδ' ἀφρασμόνως ὕπνῳ
νικώμενος παρῆκεν ἀγγέλου μέρος·
ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοάς
Μεσσαπίου φύλαξι σημαίνει μολόν.
οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω
γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
σθένουσα λαμπὰς δ' οὐδέπω μαυρουμένη,
ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας,
ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
φρουρά, πλέον καίουσα τῶν εἰρημένων·
λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος·
ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον
ὤτρυνε θεσμὸν μηχανήσασθαι πυρός.
πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει
φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλει πρόσω
φλέγουσιν· εἶτ' ἔσκηψεν, εὖτ' ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
κἄπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος
φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός.
τοιοίδε γ', οἶμαι, λαμπαδηφόρων νομοί,
ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
τέκμαρ τοιοῦτο ξύμβολόν τε σοὶ λέγω,
ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.

---

288. κεύθει] πευκη. Eam cum sole similitudinem habet *quod ultra mare occidit.*

289. σκοποῖς] σκοπάς.

304. μηχανήσασθαι] μὴ χαρίζεσθαι, *vide* S. S. p. 19.

307. κάτοπτον Canterus] κάτοπτρον. ὑπερβάλλει] ὑπερβάλλειν.

308. φλέγουσιν] φλέγουσαν, *neque tamen desistunt.* εὖτ' Hermannus] ἔς τ'.

312. τοιοίδε γ' οἶμαι] τοιοίδ' ἕτοιμοι.

314. Idem et primus et ultimus. νομοί autem sunt collegia, *companies*, sicut v. 594; quare accentum mutavi.

ΧΟΡΟΣ.

θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι.
λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι
διηνεκῶς θέλοιμ' ἄν, ὡς λέγεις, πάλιν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τροίαν Ἀχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ.
οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν.
ὄξος τ' ἄλειφά τ' ἐγχέας ταὐτῷ κύτει,
διχοστατοῦντ' ἄν, οὐ φιλοῦντε προσβλέποις.
καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
φθογγὰς ἀκούειν ἔστι συμφορᾶς διπλῆς.
οἱ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων
παῖδες γερόντων, οὐκέτ' ἐξ ἐλευθέρου
δέρης ἀποιμώζουσι φιλτάτων μόρον.
τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
νήστεις πρὸς ἀρίστοισιν ὧν ἔχει πόλις
τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον·
ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον,
ἐν αἰχμαλώτοις Τρωικοῖς οἰκήμασιν
ναίουσιν ἤδη, τῶν ὑπαιθρίων πάγων
δρόσων τ' ἀπαλλαγέντες, ὧν δυσδαίμονες
ἀφύλακτον εὑδήσουσι πᾶσαν εὐφρόνην.
εἰ δ' εὖ σέβουσι τοὺς πολισσούχους θεοὺς
τοὺς τῆς ἁλούσης γῆς θεῶν θ' ἱδρύματα,
οὔ τἂν ἑλόντες αὖθις ἀνθάλοιεν ἄν.
ἔρως δέ μή τις πρότερον ἐμπίπτῃ στρατῷ
πορθεῖν ἃ μὴ χρή, κέρδεσιν νικωμένους.
δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας
κάμψαι διαύλου θάτερον κῶλον πάλιν·

---

319. οὖς Bothius] ὡς.

323. οὐ φιλοῦντε προσβλέποις] οὐ φίλως προσεννέποις quae frustra torserunt interpretes προσεννέποις locum hic nullum habere non animadvertentes; quod vocabulum corruptum ceteris causa stetit cur perirent.

331. νήστεις Triclinius] νήστισι.

336. ὧν] ὡς. δυσδαίμονες, sunt milites Achaei minus felices domum nullam sortiti.

340. οὔ τἂν Hermannus] οὐκ ἄν γ'. ἀνθάλοιεν ἄν Auratus] ἂν θάνοιεν ἄν.

θεοῖς δ' ἀναμπλάκητος εἰ μόλοι στρατός,
ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων
γένοιτ' ἄν, εἰ πρόσπαια μὴ τύχοι κακά.
τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύεις·
τὸ δ' εὖ κρατοίη, μὴ διχορρόπως ἰδεῖν.
πολλῶν γὰρ ἐσθλῶν σὴν ὄνησιν εἰλόμην.

ΧΟΡΟΣ.

γύναι, κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις.
ἐγὼ δ' ἀκούσας πιστά σου τεκμήρια
θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι.
χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.
Ὦ Ζεῦ βασιλεῦ καὶ νὺξ φιλία
μεγάλων κόσμων κτεάτειρα,
ἥτ' ἐπὶ Τροίας πύργοις ἔβαλες
στεγανὸν δίκτυον, ὡς μήτε μέγαν
μήτ' οὖν νεαρὸν τιν' ὑπερτελέσαι
μέγα δουλείας
γάγγαμον, ἄτην παναλώτον.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι
τὸν τάδε πράξαντ' ἐπ' Ἀλεξάνδρῳ
τείνοντα πάλαι τόξον, ὅπως ἂν
μήτε πρὸ καιροῦ μήθ' ὑπὲρ ἄστρων
βέλος ἠλίθιον σκήψειεν.
Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν, στρ. ά.
πάρεστι τοῦτ' ἰχνεῦσαι.
ἔπραξεν ὡς ἔκρανεν. οὐκ ἔφα τις

---

345. *Quod si dis minus invisus venerit exercitus, tamen vigilabit clades perditorum, si forte res adversae victoribus accidant; sive res eorum adversas exspectans.* Scilicet etiamsi dei nihil quod ulciscantur habebunt; tamen solet is qui bona fortuna usus est, in malum aliquod incidere.

346. ἐγρηγορὸς Porsonus] ἐγρηγορόν.

350. σὴν] τήν. *Tua commoda quam multorum bonorum virorum malo.* Iterat verba Chori. vv. 294 sqq. πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὔπραξις ὡς θέλει τόδ' ἄγχιστον Ἀπίας γῆς μονόφρουρον ἕρκος.

359. νεαρὸν] νεαρῶν.

361. ἄτην πανάλωτον] ἄτης παναλώτου.

368. τοῦτ' ἰχνεῦσαι] τοῦτ' ἐξιχνεῦσαι. Sed illud metrum flagitat hypercatalexin aspernans; tum vestigia sequi vult, non indagare.

θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν
ὅσοις ἀθίκτων χάρις
πατοῖθ'· ὁ δ' οὐκ εὐσεβής.
πέφανται δ' ἔργον οὖσα τόλμη τῶν Ἄρη
πνεόντων μεῖζον ἢ δικαίως,
φλεόντων δωμάτων ὑπέρφευ.
ὑπὲρ τὸ βέλτιστον ἔστω δ' ἀπήμαντον ὥστ' ἀπαρκεῖν
εὖ πραπίδων λαχόντι.
οὐ γάρ ἐστιν ἔπαλξις
πλούτου πρὸς κόρον ἀνδρὶ
λακτίσαντι μέγαν δίκας
βωμὸν εἰς ἀφάνειαν.
Βιᾶται δ' ἁ τάλαινα Πειθώ, ἀντ. α'.
πρόπολος ἄφερτος Ἄτας.
ἄκος δὲ πᾶν μάταιον. οὐκ ἐκρύφθη·
πρέπει δέ, φῶς αἰνολαμπές, σίνος·
κακοῦ δὲ χαλκοῦ τρόπον,
τρίβῳ τε καὶ προσβολαῖς
μελαμπαγὴς πέλει· δικαιωθείς, ἐπεὶ
διώκει παῖς ποτανὸν ὄρνιν,
πόλει πρόστριμμ' ἄφερτον ἀνθεῖν·

---

374. πέφανται δ' ἔργον οὖσα τόλμη τῶν Ἄρη] δ' ἐγγόνους ἀτολμήτων Ἄρη, vocabulis male divisis. S. S. p. 30. *iam apparet audaciam Martem iusto violentius spirantium domorum tumentium esse propriam.*

379. *optimo melius autem sit (h. e. habeatur) id quod quum invidiam nullam habeat satis tamen est homini bene cordato.* exampla eius quod est δὲ quarto loco collocati vide in L. A.

380. λαχόντι Schuetzius] λαχόντα.

382. πλούτου πρὸς κόρον satietate divitiarum.

384. εἰς ἀφάνειαν ne eam videat *out of his sight.* Cfr. Psalm. xvi. 8, *statui Dominum semper coram me.*

386. πρόπολος] προβουλόπαις, quod ex πρόπολος et interpretatione eius δοῦλος conflatum est, quorum prius et metrum et sententia flagitat. alterum glossema fuit παῖς.

388. πᾶν μάταιον Musgravius] παμμάταιον.

391. προσβολαῖς Pearsonus] προβολαῖς.

395. ἀνθεῖν] θεις. nempe *dei aequum censent hunc virum dum pueriliter pictam avem sequitur,* h. e. dum nugas suo more agit *in grandem perniciem patriae suae efflorescere.* ἀνθεῖν verbum est medicorum. Ch. 1009 μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ.

λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν, τῶν δ' ἐπιστρεφόντων
φῶτ' ἄδικον καθαιρεῖ.
οἷος καὶ Πάρις, ἐλθὼν
ἐς δόμον τὸν Ἀτρειδᾶν,
ᾔσχυνε ξενίαν τράπε-
ζαν κλοπαῖσι γυναικός.
Λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας στρ. β'
κλόνους τε καὶ λογχίμους, ναυβάτας θ' ὁπλισμούς,
ἄγουσά τ' ἀντίφερνον Ἰλίῳ φθοράν,
βέβακε ῥίμφα διὰ πυλᾶν, ἄτλη-
τα τλᾶσα· πολλὰ δ' ἔστενον
τόδ' ἐννέποντες δόμων προφῆται·
ἰὼ ἰὼ δῶμα δῶμα καὶ πρόμοι,
ἰὼ λέχος καὶ στίβοι φιλάνορες.
πάρεστι σῖγ', ἄτιμος, ἀλλ' ἀλοίδορος
ἄπιστος ἐμφανῶν ἰδεῖν.
πόθῳ δ' ὑπερποντίας
φάσμα δόξει δόμων ἀνάσσειν.
εὐμόρφων δὲ κολοσσῶν
ἔχθεται χάρις ἀνδρί.
ὀμμάτων δ' ἐν ἀχηνίαις
ἔρρει πᾶσ' Ἀφροδίτα.
Ὀνειρόφαντοι δὲ πενθήμονες ἀντ. β'.
πάρεισι δόξαι φέρουσαι χάριν ματαίαν.
μάταν γὰρ εὖτ' ἂν ἐσθλά τις δοκῶν ὁρᾷ,
παραλλάξασα διὰ χερῶν, βέβα-
κεν ὄψις οὐ μεθύστερον
πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις.

---

397. τῶν δ' ἐπιστρεφόντων] τὸν δ' ἐπιστροφον τῶνδε. *Quod si quis aurem praebet*, subaudiendum ἕκαστος. Plato, Rep. p. 366, τῶν δὲ ἄλλων οὐδεὶς ἑκὼν δίκαιος ἀλλ' ὑπ' ἀνανδρίας ψέγει τὸ ἀδικεῖν. Xen. Hell. ii. 2, 3, ἐκείνης τῆς νυκτὸς οὐδεὶς ἐκοιμήθη οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες κ.τ.λ. vide Kühneri Gramm. II. p. 1072.

402. ἀσπίστορας κλόνους conf. Arist. Ach. 545, 555. κλόνους τε καὶ λογχίμους] κλόνους λογχίμους τε καί. θ' addidi.

412. σῖγ'] σιγᾶς, ἀλλ', addidit nescio quis.

413. ἄπιστος ἐμφανῶν ἰδεῖν] ἄδιστος ἀφεμένων ἰδεῖν. Correxi in S. S. p. 16. sic Damayantis in claro Vyāsi carmine Nalum sponte abiisse credere recusat, quod tamen satis perspicuum erat. cf. etiam Ramayani iii. 67.

422. ὁρᾷ Scholefieldus] ὁρᾶν.

τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη
τάδ' ἐστὶ καὶ τῶνδ' ὑπερβατώτερα.
τὸ πᾶν δ' ἀφ' Ἑλλάδος συνορμένοισι δυσ-
μένεια τλησικάρδιος
δόμῳ 'ν ἑκάστου πρέπει.
πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ·
οὓς μὲν γάρ τις ἔπεμψεν
οἶδεν· ἀντὶ δὲ φωτῶν
τεύχη καὶ σποδὸς εἰς ἑκά-
στου δόμους ἀφικνεῖται.
Ὁ χρυσαμοιβὸς δ' Ἄρης σωμάτων στρ. γ'.
καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς
πυρωθὲν ἐξ Ἰλίου
φίλοισι πέμπει βραχὺ
ψῆγμα δυσδάκρυτον ἀν-
τήνορος σποδοῦ γεμί-
ζων λέβητας εὐθέτους.
στένουσι δ' εὖ λέγοντες ἄν-
δρα τὸν μὲν ὡς μάχης ἴδρις·
'τὸν ἐν φοναῖς καλῶς πεσόντ'
ἀλλοτρίας διαὶ γυναι-
κός.' τάδε σῖγά τις βαΰ-
ζει. φθονερὸν δ' ὑπ' ἄλγος ἕρ-
πει προδίκοις Ἀτρείδαις.
'οἱ δ' αὐτοῦ περὶ τεῖχος
θήκας Ἰλιάδος γᾶς
εὔμορφοι κατέχουσιν· ἐχ-

---

429. ἀφ' Ἑλλάδος] ἀφ' Ἑλλάδος αἴας, verbum perridiculum de quo S. S. p. 23. συνορμένοισι δυσμένεια] συνορμένοις πένθεια. *invidia patiens*, sc. in apertam seditionem nondum eruptura. Eur. Hel. 313, πῶς δ' εὐμενείας τοισίδ' ἐν δόμοις ἔχεις; Isocr. v. 68, τὰ μὲν γὰρ τοιαῦτα τῶν ἔργων φθόνον ἔχει καὶ δυσμένειαν καὶ πολλὰς βλασφημίας coll. infr. 456, 461.

431. δόμῳ 'ν] δόμων.

436. ἀφικνεῖται Porsonus] εἰσαφικνεῖται.

441. βραχὺ Schuetzius] βαρύ.

444. εὐθέτους Auratus] εὐθέτου.

447. delevi δ' quod post τὸν legitur: nam vocabulo μὲν v. 446 respondet δὲ v. 452.

449. διαὶ coll. 1453 et Anecd. Oxon. i. 119, 13] διὰ.

454. vis querelae in verbo εὔμορφοι continetur, 'horum autem *venustatem* condidit Iliacum solum, sicut illorum *virtutem*.'

θρᾷ δ' ἔχοντας ἔκρυψεν.'
Βαρεῖα δ' ἀστῶν φάτις ξὺν κότῳ· δημοκράντου δ' ἀρᾶς τίνει
χρέος. ἀντ. γ'.
μένει δ' ἀκοῦσαί τί μου
μέριμνα νυκτηρεφές.
τῶν πολυκτόνων γὰρ οὐκ
ἄσκοποι θεοί· κελαι-
ναὶ δ' Ἐρινύες χρόνῳ
πυχηρὸν ὄντ' ἄνευ δίκας,
παλιντριβεῖ τύχᾳ βίου
τιθεῖσ' ἀμαυρόν, ἐν δ' ἀΐ-
στοις τελέθοντος οὔτις ἀλ-
κά· τὸ δ' ὑπερκότως κλύειν
εὖ, βαρύ· βάλλεται γὰρ ὄσ-
σοις διόθεν κεραυνός.
κρίνω δ' ἄφθονον ὄλβον.
μήτ' εἴην πτολιπόρθης
μήτ' οὖν αὐτὸς ἁλόνθ' ὑπ' ἄλ-
λων βίον κατίδοιμι.
Πυρὸς δ' ὑπ' εὐαγγέλου ἐπ.
πόλιν διήκει θοὰ
βάξις· εἰ δ' ἐτήτυμος,
τις οἶδεν; εἴ τι θεῖόν ἐστι μὴ ψύθος.
τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος,
φλογὸς παραγγέλμασιν
νέοις πυρωθέντα καρδίαν, ἔπειτ'
ἀλλαγᾷ λόγου καμεῖν;
γυναικὸς αἰχμᾷ πρέπει
πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι.
πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος·

---

458. δημοκράντου Porsonus] δημοδάτου.
465. παλιντριβεῖ τύχᾳ] παλιντυχῆ τριβᾷ.
473. ἁλόνθ'] ἁλούς. Conf. L. A. s. v. βίος.
477. ἐτήτυμος Auratus] ἐτήτυμως.
478. εἴ τι] ἤ τοι. *ut divinum mendacium non sit quis tamen scit faces an vera nuntient?*
483. verba male intellecta, '*oportet muliebri ingenio* (*hoc est mulieribus*) *gratias rei probatae, monstratae polliceri.*' quae est muliebris credulitas, rei a muliere *asseveratae solum* noli temere fidem habere.
485. *femineum indicium* (vel *argumentum*) *aptum est ad persuadendum*) ὅρος quod

ἐπινέμεται ταχύπορον, ἀλλὰ ταχύμορον
γυναικογήρυτον ὄλλυται κλέος.
τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγὰς,
εἴτ' οὖν ἀληθεῖς, εἴτ' ὀνειρατων δίκην
τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσεν φρένας.
κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
κλάδοις ἐλαίας (μαρτυρεῖ δὲ καὶ κάσις
πηλοῦ ξύνουρος διψία κόνις τάδε·)
ὃς οὔτ' ἄναυδος οὔτε σοὶ δαίων φλόγα
ὕλης ὀρείας σημανεῖ καπνὸν πόλεως.
ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων·
τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον·
εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.
ὅστις γὰρ ἄλλως τῇδ' ἐπεύχεται πόλει,
αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.

ΚΗΡΥΞ.

ἰὼ πατρῷον οὖδας Ἀργείας χθονὸς,
δεκάτου σε φέγγει τῷδ' ἀφικόμην ἔτους,
πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχών.
οὐ γάρ ποτ' ηὔχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ
θανὼν μεθέξειν φιλτάτου τάφου μέρος.
νῦν χαῖρε μὲν χθὼν, χαῖρε δ' ἡλίου φάος,
ὕπατός τε χώρας Ζεὺς, ὁ Πύθιός τ' ἄναξ,
τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη·
ἅλις παρὰ Σκάμανδρον ἦσθ' ἀνάρσιος·
νῦν δ' αὖτε σωτὴρ ἴσθι καὶ παιώνιος

*terminus* valet eodem modo quo τέκμαρ et σῆμα ad *indicia rerum* transfertur); *gliscunt cito rumores a mulieribus allati, cito quoque evanescunt.* unde ταχύπορον] ταχύπορος.

494. μαρτυρεῖ, sc. hominem nuntium esse. καὶ] μοι.

496. ὃς] ὡς. sed quo pacto, amabo, pulvis eius rei testis est? σοι tibi, Clytemnestrae.

497. καπνὸν πόλεως] καπνῷ πυρός iteratione inani. Eadem corruptela mox iterum offendet.

501. γὰρ] τάδ' correctoris supplementum, cum γὰρ propter versum praecedentem excidisset.

504. δεκάτου Wunderus] δεκάτῳ.

507. φιλτάτου τάφου sepulcri gentilis.

511. ἦσθ' margo Askewii] ἦλθες.

512. καὶ παιώνιος Dobraeus praeclare] καπαγώνιος.

ἄναξ Ἄπολλον. τούς τ' ἀγωνίους θεοὺς
πάντας προσαυδῶ, τόν τ' ἐμὸν τιμάορον
Ἑρμῆν, φίλον κήρυκα, κηρύκων σέβας,
ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι,
σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι,
εἴ που πάλαι, φαιδροῖσι τοισίδ' ἤμασι
δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ.
ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φέρων.
ἀλλ' εὖ νιν ἀσπάσασθε, καὶ γὰρ οὖν πρέπει,
Τροίαν κατασκάψαντα τοῦ δικηφόρου
Διὸς μακέλλῃ, τῇ κατείργασται πέδον,
βωμοὶ δ' ἄϊστοι καὶ θεῶν ἱδρύματα,
καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονός.
τοιόνδε Τροίᾳ περιβαλὼν ζευκτήριον
ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ
ἥκει, τίεσθαι δ' ἀξιώτατος βροτῶν
τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις
ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην
τοῦ ῥυσίου θ' ἥμαρτε καὶ πανώλεθρον
αὐτόχθον' ὃν πατρῷον ἔθρισεν δόμον.
διπλᾶ δ' ἔτεισαν Πριαμίδαι θἀμαρτία.

ΧΟΡΟΣ.

κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ.

---

520. εἴ που Stanleius] ἦ που. ἤμασι] ὄμμασι inepte. Cf. Eur. Hel. 1366, vox quae *nunc* significaret omitti non poterat.

523. Delevi versum spurium Aeschyloque plane indignum καὶ τοῖσδ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ quem etiamsi scripsisset poeta delerent ingenii eius fautores; sed non scripsit.

532. Eandem brachylogiam et in Sanscritismo inveni Bha*tt*i-Kavyi 10. 39 *b*: *yadi nāma kalaNka indulekhām ativrtto lag-hayen na cāpi bhāvi.*

536. αὐτόχθον' ὃν Klausenus] αὐτόχθονον. ὃν necessarium est cum partes Paridis, sociorumque eius sedulo distinguantur. αὐτόχθονα autem dictum sicut αὐτόπρεμν' ἀπόλλυται.

537. θἀμαρτία Hermannus] θάμάρτια.

ΚΗΡΥΞ.

χαίρω γε· τεθνάναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς.

ΧΟΡΟΣ.

ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν;

ΚΗΡΥΞ.

ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο.

ΧΟΡΟΣ.

τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου.

ΚΗΡΥΞ.

πῶς δή; διδαχθεὶς τοῦδε δεσπόσω λόγου.

ΧΟΡΟΣ.

τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένοι.

ΚΗΡΥΞ.

ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις;

ΧΟΡΟΣ.

ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενός μ' ἀναστένειν.

ΚΗΡΥΞ.

πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος πόλει;

ΧΟΡΟΣ.

πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.

ΚΗΡΥΞ.

καὶ πῶς; ἀπόντων κοιράνων ἔτρεις τινάς;

ΧΟΡΟΣ.

ὡς νῦν, τὸ σὸν δή, καὶ θανεῖν πολλὴ χάρις.

ΚΗΡΥΞ.

εὖ γὰρ πέπρακται. πολλὰ δ' ἐν πολλῷ χρόνῳ

---

539. γε addidi.
542. *Dulci ergo morbo laborabatis.*
544. πεπληγμένοι Tyrwhittus] πεπληγμένος.
547. πόλει] στρατῷ non tam manus librarii quam mentis error.
549. Quaerit nuntius cur tacuerit.
550. ὡς Scaliger] ὧν.
551 πολλὰ] ταῦτα.

τὰ μέν τις εὖ λέξειεν εὐπετῶς ἔχειν,
τὰ δ' αὖτε κἀπίμομφα. τίς δὲ πλὴν θεῶν
ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον;
μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας,
σπαρνὰς παρήξεις καὶ κακοστρώτους, τί δ' οὐ
στένοντας, ἀσχάλλοντας ἤματος μέρος;
τὰ δ' αὖτε χέρσῳ, καὶ προσῆν πλέον στύγος·
εὐναὶ γὰρ ἦσαν δηίων πρὸς τείχεσιν·
ἐξ οὐρανοῦ δε κἀπὸ γῆς λειμώνιαι
δρόσοι κατεψάκαζον, ἔμπεδοι σίνοι
ἐσθημάτων, τιθέντες ἔνθηρον τρίχα.
χειμῶνα δ' εἰ λέγοι τις οἰωνοκτόνον,
οἷον παρεῖχ' ἄφερτον Ἰδαία χιών,

---

556. πάρηξις est spatium in quo corpus extenditur, παρήκει: 'berths.'

557. στένοντας ἀσχάλλοντας] στένοντες οὐ λαχόντες.

562. ἔμπεδοι σίνοι] ἔμπεδον σίνος. illud autem propter τιθέντες necessarium est. monumentum eius quod est ὁ σίνος verbum σινοῦν, quo usi sunt scriptores inferioris aetatis, restat. facile autem demonstrari potest vocabula neutri generis in -os desinentia quae praebent linguae Sanscrita, Graeca, Latina nihil aliud esse quam masculina in -o- quorum s nominativi casus pro parte vocabuli habitum est. nam (1) nequaquam inter se constant tres linguae, sed persaepe *neutri* Sanscrito respondet *masculinum* Graecum vel Latinum, et invicem; sic Sanscrito *janas janasya* γένος γένεος; sed Sanscrito *okas okasas* Graecum οἶκος οἴκου. (2) tum nequaquam sibi ipsa constat in his vocibus lingua Sanscrita, quod ex Grasmanni Lexico discas, quae et *aNka-s aNkasya* habet et *aNkas aNkasas*, et *makha-s makhasya* et *makhas makhasas*, *ojas* sed *ojā-yamāna*, *osha-s* et *oshas*, *apa-s* et *apas* et sescenta huiusmodi. Non lingua Latina, quae *pondus pondo* habet, et *pondus ponderis*; non Graeca quod ex duplici forma σκότον et σκότους videas. perperam ergo docuit De Saussure in lingua Indo-Germanica id observatum fuisse ut neutra vocali e, masculina vocali o notarentur; id quod ne in Graeca quidem lingua obtinet nisi in radicibus semivocalium expertibus. (3) formas in -os desinentes quasi nascentes cernas in dialecto Vaedica; sic enim explices quod *deva-s* nominativum pluralis *devāsas* facit, *jana-s* dualis *janasī* et his similia. quod si quis me his formis in Aeschylum admissis violatae tragicae simplicitatis reum aget ad Aristotelis auctoritatem confugiam (p. 1458 *b*. 4 et 1459 *a*. 10).

ἢ θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
κοίταις ἀκύμων νηνέμοις ηὗδεν πεσών·
τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος·
παροίχεται δὲ τοῖσι μὲν τεθνηκόσιν
τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν.
τί τοὺς ἀναλωθέντας ἐν ψήφῳ λέγειν,
τὸν ζῶντα δ' ἀλγεῖν χρὴ τύχης παλιγκότου;
καὶ πολλὰ χαίρειν ξυμφορὰς καταξιῶ.
ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ
νικᾷ τὸ κέρδος, πῆμα δ' οὐκ ἀντιρρέπει.
ὡς κομπάσαι τοδ' εἰκὸς ἡλίου φάει,
ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτωμένοις·
'Τροίαν ἑλόντες δήποτ' Ἀργείων στόλος
'θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα
'δόμων ἐπασσάλευσαν ἀρχαίων γάνος.'
τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν
καὶ τοὺς στρατηγούς· καὶ χάρις τιμήσεται
Διὸς τόδ' ἐκπράξασα· πάντ' ἔχεις λόγον.

ΧΟΡΟΣ.

νικώμενος λόγοισιν οὐκ ἀναίνομαι·
ἀεὶ γὰρ ἥβη τοῖς γέρουσιν εὖ μαθεῖν.
δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν
εἰκὸς μάλιστα, ξὺν δὲ πλουτίζειν ἐμέ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο,
ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πόλεως
φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν.
καί τίς μ' ἐνίπτων εἶπε· 'φρυκτώρων διὰ
'πεισθεῖσα, Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς;
'ἦ κάρτα πρὸς γυναικὸς αἴρεσθαι κέαρ.'
λόγοις τοιοῖσδ' ἔμπληκτος οὖσ' ἐφαινόμην.

566. ηὗδεν] εὕδοι.
572. ξυμφορὰς] ξυμφοραῖς.
575. τόδ'] τῷδ'.
579. δόμων] δόμοις. ἀρχαίων] ἀρχαῖον inepte.
584. ἥβη] ἡβᾷ inepte.
587. ἀνωλόλυξα μὲν Stephanus] ἀνωλολύξαμεν.
588. πόλεως] πυρὸς inepte.
593. τοιοῖσδ' ἔμπληκτος] τοιούτοις πλαγκτὸς, quod cave credas sensum habere. nam πλαγκτός masculini est generis; tum in *dementia* ab Homero (φ 363) usurpatum, a qua vis huius loci abhorret. prae-

ὅμως δ' ἔθυον· καὶ γυναίκειοι νομοὶ
ὀλολυγμὸν ἄλλος ἄλλοθέν κατὰ πτόλιν
ἔλασκον εὐφημοῦντες, ἐν θεῶν ἕδραις
θυηφάγον καινοῦντες εὐώδη φλόγα.
καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν;
ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον.
ὅπως δ' ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν
σπεύσω πάλιν μολόντα δέξασθαι. τί γὰρ
γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν,
ἢ 'πὸ στρατείας ἀνδρὶ σώσαντος θεοῦ
πύλας ἀνοῖξαι; ταῦτ' ἀπάγγειλον πόσει
ἥκειν ὅπως τάχιστ' ἐράσμιον πόλει·
γυναῖκα πιστὴν δ' ἐν δόμοις εὑρεῖν μολὼν
οἵανπερ οὖν ἔλειπε, δωμάτων κύνα
ἐσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύσφροσιν,
καὶ τἄλλ' ὁμοίαν πάντα, σημαντήριον
οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου.
οὐκ οἶδα τέρψιν οὐδ' ἐπίψογον φάτιν

---

terea prior corruptela τοῦδ' εὔπλαγκτος ab auctore Christi Patientis quem Hermannus laudat lecta videtur fuisse. ἔμπληκτος autem hic tam aptum est ut aptius nihil esse possit. ἐμπληξία enim *levitatem* notat et credendi et postea ad alia avolandi.

594. γυναίκειοι νομοί] γυναικείῳ νόμῳ. iterum restituimus vocabulum quod et in v. 312 corruptum est. Vides collectivum aliquod debere poni quo ἄλλος referatur.

597. καινοῦντες] κοιμῶντες. instaurantes. idem v. 87 restituimus.

603. ἢ addidi. ἀνδρὶ] ἄνδρα. sic Graecus versus effectus est. Eur. Suppl. 1120, τί γὰρ ἂν μεῖζον τοῦδ' ἔτι θνητοῖς πάθος ἐξεύροις ἢ τέκνα θανόντ' ἐσιδέσθαι. vide Ameisium ad ζ 183 append.

606. εὑρεῖν] εὕροι. *Te autem invenisse uxorem eius qualem reliquerat.* iamdudum videt Hensius, ni fallor, quantopere ad hunc locum erraverit. debet nuntius aliquid Agamemnoni super uxore narrare sicut in Bha*tt*i-Kavyo super Sita Ramo Simius.

609. ὁμοίαν qualis olim fuerat.

611. οὐκ Schuetzius] οὐδ'. χαλκὸς] χαλκοῦ. quum Clytaemnestra se quoddam *passam esse* neget, necesse est quam rem *quoddam pati* natura rerum *vetet*, ex ea re similitudinem transferat. id enim quod quis patitur cum eo quod quis facit vel intelligit nullo modo comparari potest. ergo hoc dicit: *non magis infamiam passa sum quam aes fucatum est;* sicut aes non fucari potest, lana potest, sic ego has res non passa sum, aliae, si casus tulit, feminae passae sunt.

ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκὸς βαφάς.
τοιόσδ' ὁ κόμπος τῆς ἀληθείας γέμων
οὐκ αἰσχρὸς ὢν γυναικὶ γενναίᾳ λακεῖν.

ΧΟΡΟΣ.

αὕτη μὲν οὕτως εἶπε μανθάνοντί σοι
τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῶν λόγων.
σὺ δ' εἰπὲ, κῆρυξ, Μενέλεων δὲ πεύθομαι,
εἰ νόστιμός τε καὶ σεσῳσμένος πάλιν
ἥξει ξὺν ὑμῖν, τῆσδε γῆς φίλον κράτος.

ΚΗΡΥΞ.

οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ
ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.

ΧΟΡΟΣ.

πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ κἀληθῆ τύχοις;
σχισθέντα δ' οὐκ εὔκρυπτα γίγνεται τάδε.

ΚΗΡΥΞ.

ἀνὴρ ἄφαντος ἐξ 'Αχαϊκοῦ στρατοῦ,
αὐτός τε καὶ τὸ πλοῖον. οὐ ψευδῆ λέγω.

ΧΟΡΟΣ.

πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ 'Ιλίου,
ἢ χεῖμα κοινὸν ἄχθος ἥρπασε στρατοῦ;

ΚΗΡΥΞ.

ἔκυρσας ὥστε τοξότης ἄκρος σκοποῦ.
μακρὸν δὲ πῆμα ξυντόμως ἐφημίσω.

ΧΟΡΟΣ.

πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος

---

614. ὢν] ὡς. cur UT feminae nobili? neque enim alii cuiquam indecorus fuisset.

616. εὐπρεπῶν λόγων] εὐπρεπῶς λόγον. *sic dixit nobis qui tibi* modo omnia intelligas *boni interpretes speciosi sermonis volumus esse.* idem dicunt quod initio fabulae custos; μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι.

618. τε Hermannus] γε.

620. Non possum ita referre falsa, ut diu fruantur iis amici.

622. κἀληθῆ Schuetzius] τἀληθῆ. *Utinam bene cum nuntiares vera dixeris; neque tamen amplius celare potes haec non ita esse.*

625. ἀνὴρ Hermannus] ἀνήρ.

φάτις πρὸς ἄλλων ναυτίλων ἐκλήζετο;

ΚΗΡΥΞ.

οὐκ οἶδεν οὐδεὶς ὥστ' ἀπαγγεῖλαι τορῶς,
πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν.

ΧΟΡΟΣ.

πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ
ἐλθεῖν τελευτῆσαί τε δαιμόνων κότῳ;

ΚΗΡΥΞ.

εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ
γλώσσῃ μιαίνειν, χωρὶς εἴ τι μὴ δέον.
ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόλει
στυγνῷ προσώπῳ πτωσίμου στρατοῦ φέρῃ,
πόλει μὲν ἕλκος ἓν τὸ δήμιον κλύειν,
πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων
ἄνδρας διπλῇ μάστιγι, τὴν Ἄρης φιλεῖ,
δίλογχον ἄτην, φοινίαν ξυνωρίδα,
τοιῶνδε μέντοι πημάτων σεσαγμένον
πρέπει λέγειν παιᾶνα τόνδ' Ἐρινύων.
σωτηρίων δὲ πραγμάτων εὐάγγελον
ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν,
πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω, λέγων
χειμῶν' Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς;
ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρὶν,
πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην,
φθείροντε τὸν δύστηνον Ἀργείων στρατὸν
ἐν νυκτί. δυσκύμαντα δ' ὠρώρει κακά.
ναῦς γὰρ πρὸς ἀλλήλαισι Θρῄκιαι πνοαὶ

---

637. χωρὶς εἴ τι μὴ δέον] χωρὶς ἡ τιμὴ θεῶν. Quae vocabula quod interpretes torserunt, equidem non miror. Ceterum non potest non excusare se nuntius quod rem parum idoneam, quod ipse fatetur, facit. at Herodiano χωρὶς εἰ μὴ δοίη ἀδόκιμον quod τὸ μὴ καὶ τὸ χωρὶς ἀμφότερα ἀρνητικὰ ὄντα ὁμοῦ πίπτειν οὐ δύναται (in Lobeckii Phrynicho p. 469) iure non credidit Thomas Ritschelii p. 399.

640. κλύειν] τυχεῖν. Similem errorem v. 1075 corrigemus.

644. σεσαγμένον Schuetzius] σεσαγμένων.

649. *Procella de qua iure poterant succensere diis Achivi.* solent heroes Homerici non semel deis ac maxime Jovi succensere.

ἤρεικον· αἱ δὲ κεροτυπούμεναι βίᾳ
χειμῶνι τυφῶ ξὺν ζάλῃ τ' ὀμβρόκτυποι,
ᾤχοντ', ἀφάντου ποιμένος, κακῷ στρόβῳ.
ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος,
ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς
ἀνδρῶν Ἀχαιῶν ναυτικοῖς τ' ἐρειπίοις.
ἡμᾶς γε μὲν δὴ νεώς τ' ἀκήρατον σκάφος
ἤτοι τις ἐξέκλεψεν ἢ 'ξῃτήσατο
θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών.
τύχη δὲ σωτὴρ ὠφελοῦσ' ἐφέζετο·
ὡς μήτ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν
μήτ' ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα.
ἔπειτα δ' ᾅδην πόντιον πεφευγότες,
λευκὸν κατ' ἦμαρ, οὐ πεποιθότες τύχῃ,
ἐβουκολοῦμεν φροντίσιν νέον πάθος,
στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου.
καὶ νῦν ἐκείνων εἴ τις ἐστὶν ἐμπνέων,
λέγουσιν ἡμᾶς ὡς ὀλωλότας. τί μήν;
ἡμεῖς τ' ἐκείνους ταὔτ' ἔχειν δοξάζομεν.
γένοιτο δ' ὡς ἄριστα. Μενέλεων γὰρ οὖν
πρῶτόν τε καὶ μάλιστα προσδοκᾷς μολεῖν.
εἰ δ' οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ
καὶ ζῶντα καὶ βλέποντα, μηχαναῖς Διὸς,
οὔπω θέλοντος ἐξαναλῶσαι γένος,
ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν.
τοσαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλύων.

ΧΟΡΟΣ.

Τίς ποτ' ὠνόμαζεν ὧδ' στρ. α'.

---

655. *κεροτυπούμεναι* Wassius] *κερωτυπούμεναι.*
656. *ὀμβρόκτυποι*] *ὀμβροκτύπῳ* inepte.
657. *ἀφάντου*, cf. v. 624] *ἄφαντοι. κακῷ*] *κακοῦ.* hos versus nemo adhuc expedivit de quo si quis dubitat Hensium adeat. *ποίμεν* Menelaus est.
660. *ναυτικοῖς ἐρειπίοις* Auratus] *-ῶν -ων.*
661. *νεώς* Auratus] *ναῦν* inepte.
662. Hoc est *eripuit aut ille clam aut Neptuni veniā petitā.* *ἢ ἐξῃτήσατο* *δὶα μέσου* locatum est. confer Ṛgvedi 14. 1, *devebhir yāhi yákshi ca.*
664. *ὠφελοῦσ'*] *ναῦν θέλουσ'.*
672. *τί μήν;*] *τί μή;*
673. *ταὔτ'* Kirchhoffius] *ταῦτ'.*
675. *προσδοκᾷς*] *προσδόκα*, quod quam vim habeat viderint interpretes. Cf. v. 350.

ἐς τὸ πᾶν ἐτητύμως—
μή τις ὅντιν' οὐχ ὁρῶ-
μεν προνοίαισι τοῦ πεπρωμένου
γλῶσσαν ἐν τύχᾳ νέμων;—
τὰν δορίγαμβρον ἀμφινεικῆ θ'
Ἑλέναν, ἐπεὶ πρεπόντως
ἑλέναυς ἕλανδρος, ἑλέπτολις,
ἐκ τῶν ἁβροτίμων
προκαλυμμάτων ἔπλευσε
ζεφύρου γίγαντος αὔρᾳ,
πολύανδροί τε φεράσπιδες κυναγοὶ
κατ' ἴχνος πλατᾶν ἄφαντον
κέλσαν τὰς Σιμόεντος
ἀκτὰς ἐννοσιφύλλους
δι' ἔριν αἱματόεσσαν.
Ἰλίῳ δὲ κῆδος ὀρ- ἀντ. α'.
θώνυμον τελεσσίφρων
μῆνις ἤλασεν, τραπέ-
ζας ἀτίμωσιν ὑστέρῳ χρόνῳ
καὶ ξυνεστίου Διὸς
πρασσομένα τὸ νυμφότιμον
μέλος ἐκφάτως τίοντας
ὑμέναιον, ὃς τότ' ἐπέρρεπεν
γαμβροῖσιν ἀείδειν.
μεταμανθάνουσα δ' ὕμνον
Πριάμου πόλις γεραιὰ,
πολύθρηνον μέγα που στένει, κικλήσκου-
σα Πάριν τὸν αἰνόλεκτρον,

---

689. ἑλέναυς Blomfieldus] ἑλέναs.

690. τιμὴν de pretio dictum puta.

695. πλατᾶν Heathius] πλατάν. ἴχνος πλατᾶν ἄφαντον vestigia navium (the trail, la piste, die Spur) quae tamen in aquis nulla relinquunt.

696. κέλσαν τὰς] κέλσαντες. v. L. A. s. v. κέλλω.

697. ἐννοσιφύλλους] ἐπ' ἀξιφύλλους. Arboribus ripas Simoentis abundasse ante bellum testis est Philostratus Imagg. 1. p. 380. 19, πολὺ δὲ πῦρ περὶ τὰς ὄχθας ἕρπει τοῦ ποταμοῦ ὡς μηκέτι αὐτῷ δένδρα εἶναι. Cf. Propertianum *tu canis* umbrosi *subter* pineta *Galaesi*. ne quis in loco epitheti haereat conferat Tro. 352, τοῖς τῆσδε μέλεσι, Τρῳάδες, γαμηλίοις.

κἄμπροσθεν πολύθρηνον
αἰῶν' ἀμφὶ πολιτᾶν
μέλεον αἷμ' ἀνατλᾶσα.
Ἔθρεψεν δὲ λέοντος ἶ- στρ. β΄.
νιν δόμοις ἀγάλακτον οὕ-
τως ἀνὴρ φιλόμαστον·
ἐν βιότου προτελείοις
ἅμερον, εὐφιλόπαιδα,
καὶ γεραοῖς ἐπίχαρτον.
πολέα δ' ἔσχ' ἐν ἀγκάλαις,
νεοτρόφου τέκνου δίκαν,
φαιδρωπὸς, ποτὶ χεῖρα σαί-
νοντα γαστρὸς ἀνάγκαις.
Χρονισθεὶς δ' ἀπέδειξεν ἦ- ἀντ. β΄.
θος τὸ πρὸς τοκέων. χάριν
γαρ τροφᾶς ἅμ' ἀμείβων,
μηλοφόνοισιν ἐν ἀγαῖς
δαῖτ' ἀκέλευστος ἔτευξεν·
αἵματι δ' οἶκος ἐφύρθη·
ἄμαχον ἄλγος οἰκέταις
μέγα σίνος πολύκτονον.
ἐκ θεοῦ δ' ἱερεύς τις ἄ-
τας δόμοις προσεθρέφθη.
Παραυτὰ δ' ἐλθεῖν ἐς Ἰλίου πόλιν λέγοιμ' ἂν στρ. γ΄.
φρόνημα μὲν νηνέμου γαλάνας,

---

714. κἄμπροσθεν] παμπρόσθη. miror tam apertam mendam neminem ante me correxisse. *iam nunc miserabiliter gemit quae tamen decem annis, dum cives sui moriuntur, miserabiliter fleverat.*

717. λέοντος ἶνιν Coningtonus] λέοντα σίνιν.

718. ἀγάλακτον Hesychius ἀγαλακτοσύνη· συγγένεια. redde *familiarem.* Sanscrite dicas *sapindam.*

722. γεραοῖς] γεραροῖς.

723. ἔσχεν sc. herus leonem.

725. σαίνοντα] σαίνων τε loco male intellecto.

727. χρονισθείς sic Hippocrates Littraei 2. 444 in morbis; ἐγχρονιζόμενα οὐ πεπαίνεται.

728. ἦθος Coningtonus] ἔθος. τοκέων] τοκήων semidocti metrici inventum.

729. ἅμ' addidi. Cf. Ch. 897.

730. ἐν addidit Bothius. ἀγαῖς] ἄταις. Cf. ἐρειπίοις ἀρνείου φόνου, Ai. 308.

736. προσεθρέφθη Heathius] προσετράφη.

ἀκασκαῖόν δ' ἄγαλμα πλούτου,
μαλθακὸν ὀμμάτων βέλος,
δηξίθυμον ἔρωτος ἄνθος.
παρακλίνασ' ἐπέκρανεν
δὲ γάμου πικρὰς τελευτὰς
δύσεδρος καὶ δυσόμιλος
συμένα Πριαμίδαισιν
πομπᾷ Διὸς ξενίου,
νυμφόκλαυτος Ἐρινύς.
Παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος τέτυκται ἀντ. γ'.
μέγαν τελεσθέντα φωτὸς ὄλβον
τεκνοῦσθαι μηδ' ἄπαιδα θνήσκειν·
ἐκ δ' ἀγαθᾶς τύχας γένει
βλαστάνειν ἀκόρεστον οἰζύν.
δίχα δ' ἄλλων μονόφρων εἰ-
μί. τὸ δυσσεβὲς γὰρ ἔργον
μετὰ μὲν πλείονα τίκτει,
σφετέρᾳ δ' εἰκότα γέννᾳ.
οἴκων γὰρ εὐθυδίκων
καλλίπαις πότμος ἀεί.
Φιλεῖ δὲ τίκτειν ὕβρις
μὲν παλαιὰ, νεά- στρ. δ'.
ζουσα δ' ἐν κακοῖς βροτῶν,
ὕβριν νέαν, τότ' ἢ τότ' εὖτ'
ἂν τὸ κύριον μόλῃ
φάος τόκου, δαίμονά τε
τὰν ἄμαχον, ἀπόλεμον,
ἀνίερον θράσος μελαί-
νας μελάθροισιν ἄτας,
εἰδομένας τοκεῦσιν.
Δίκα δὲ λάμπει μὲν ἐν ἀντ. δ'.

---

741. τ' addidit Hermannus. ἀκασκαῖον, ἀκασκᾶ vel ἄκασκα ἡσύχως interpretantur. fortasse sicut ἄτρεμα ex ἀ- et κασκ- (h. e. Sanscritum *caksh* 'loqui') factum est.

758. δυσσεβὲς γὰρ Pauwius] γὰρ δυσσεβές contra metrum.

763. νεάζουσα δ'] νεάζουσαν. νέαν in fine versus addidi, ex νεαρὰ quod ante φάους in codd. legitur.

766. εὖτ' ἂν] ὅταν. φάος τοκου praeclare Ahrensius] φάους κότον.

769. τὰν Hermannus] τόν.

772. εἰδομένας] εἰδομέναν.

δυσκάπνοις δώμασιν,
τὸν δ' ἐναίσιμον τίει
βίον· τὰ χρυσόπαστα δ' ἐλ-
θοῦσα σὺν πίνῳ χερῶν
παλιντρόποις ὄμμασι λι-
ποῦσ' ὅσια προσέβαλε,
δύναμιν οὐ σέβουσα πλοῦ-
του παράσημον αἴνῳ·
πᾶν δ' ἐπὶ τέρμα νωμᾷ.
Ἄγε δή, βασιλεῦ, Τροίας πτολίπορθ',
Ἀτρέως γένεθλον,
πῶς σε προσείπω; πῶς σε σεβίζω,
μήθ' ὑπεράρας μήθ' ὑποκάμψας
καιρὸν χάριτος;
πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι
προτίουσι δίκην παραβάντες.
τῷ δυσπραγοῦντί γ' ἐπιστενάχειν,
πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης
οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται·
καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς
ἀγέλαστα πρόσωπα βιαζόμενοι.
ὅστις δ' ἀγαθὸς προβατογνώμων,
οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς,
τὰ, δοκοῦντ' εὔφρονος ἐκ διανοίας,
ὑδαρεῖ σαίνει φιλότητι.
σὺ δέ μοι τότε μὲν στέλλων στρατιὰν
Ἑλένης ἕνεκ', οὐκ πικεύσω,
κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος,
οὐδ' εὖ πραπίδων οἴακα νέμων
θάρσος ἑκούσιον
ἀνδράσι θνήσκουσι κομίζων.

---

776. ἐλθοῦσα] ἐσθλά.
779. προσέβαλε Hermannus] προσέβα τοῦ.
783. πτολίπορθ' Blomfieldus] πολίπορθ'.
788. εἶναι, hoc est τοῦ εἶναι. Cf. Nägelsbachii Lateinische Stylistik.
790. γ', hoc est γοῦν] δ'.
798. σαίνει Casaubonus] σαίνειν quod exspectes.
800. οὐκ] οὐ γάρ.
803. θάρσος ἑκούσιον (scilicet) Helenae impudicitiam *libenter* admissam, non vi coactam, virorum mortibus reducens.

νῦν δ' οὐκ ἀπ' ἄκρας φρενὸς οὐδ' ἀφίλως
εὔφρων πόνον εὖ τελέσασιν.
γνώσει δὲ χρόνῳ διαπευθόμενος
τόν τε δικαίως καὶ τὸν ἀκαίρως
πόλιν οἰκουροῦντα πολιτῶν.

ΑΓΑΜΕΜΝΩΝ.

πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους
δίκῃ προσειπεῖν, τοὺς ἐμοὶ μεταιτίους
νόστου, δικαίων θ' ὧν ἐπραξάμην πόλιν
Πριάμου. δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ
κλύοντες ἀνδροθνῆτας Ἰλίου φθορὰς
ἐς αἱματηρὸν τεῦχος οὐ διχορρόπως
ψήφους ἔθεντο· τῷ δ' ἐναντίῳ κύτει
Ἐλπὶς προσείει χεῖρας οὐ πληρουμένῳ.
καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις.
ἄτης θύελλαι ζῶσι· συνθνῄσκουσα δὲ
σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν

---

hoc est Helenam reducens. eodem verbo κομίζειν usus est in hac re Pindarus Ol. 13. 80, τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέως, Ἑλέναν κομίζοντες. Conferas Pyth. 4. 188, Eur. Suppl. 273. imitatus est hunc locum Euripides Tr. 370—

ὁ δὲ στρατηγὸς ὁ σοφὸς ἐχθίστων ὕπερ
τὰ φίλτατ' ὤλεσ', ἡδονὰς τὰς οἴκοθεν
τέκνων ἀδελφῷ δοὺς γυναικὸς οὕνεκα
καὶ ταῦθ' ἑκούσης κοὐ βίᾳ λελημμένης.

806. πόνον Bothius] πόνος.

817. προσείει χεῖρας] προσήει χειρὸς. scilicet sola deorum Spes in urnam absolventium mittentis speciem exhibet; neque tamen mittit. prope solemnis est haec corruptela verbi προσείειν: 'Aelian. Ep. 16, σὺ δέ μοι αὐλητρίδας προσείεις (προσίῃς vulgo quod correxit Hemsterhusius). Aelian. N. A. 17. 22, προσείοντι σειρῆνας (libri προσείοντι corr. Toupius). Liban 3. 441. 6, προσειόντων (ubi in προσιόντων corruptum).' (S. T.) Platon. Phaedr. 338 c, καρπὸν προσείοντες ἄγουσι (ubi προσιόντες correxit Casaubonus). audi Ruhnkenium in Tim. p. 137; 'diceresne librarios ad hanc locutionem ex omnibus libris expellandam coniurasse?' idem Ruhnkenius docet προσείειν idem esse quod προδεικνύναι.

819. ἄτης θύελλαι flammae sunt. *solae flammae vivunt; cum illis simul moriens favilla.*

τίνειν· ἐπείπερ ἀλλαγὰς ὑπερκότους
ἐπραξάμεσθα, καὶ γυναικὸς οὕνεκα
πόλιν διημάθυνεν Ἀργεῖον δάκος,
ἵππου νεοσσὸς, ἀσπιδηφόρος λεὼς,
πήδημ᾽ ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων
ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε·
ἃ δ᾽ ἐς το σὸν φρόνημα μέμνημαι κλύων,
καὶ φημὶ ταὐτὰ καὶ ξυνήγορόν μ᾽ ἔχεις.
παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ᾽ ἄνευ φθόνου σέβειν.
δύσφρων γὰρ ἰὸς καρδίᾳ προσήμενος,
ἄχθος διπλοίζει τῷ πεπαμένῳ νοσον,
τοῖς τ᾽ αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει·
εἰδὼς λέγοιμ᾽ ἄν. εὖ γὰρ ἐξεπίσταμαι
ὁμιλίας κάτοπτρον εἴδωλον σκιᾶς
δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
μόνος δ᾽ Ὀδυσσεὺς, ὅσπερ οὐχ ἑκὼν ἔπλει,
ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος·
εἴτ᾽ οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι
λέγω. τὰ δ᾽ ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς
κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει
βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον
ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον.
ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως,
πειρασόμεσθα πῆμ᾽ ἀποστρέψαι νόσου.

---

822. ἀλλαγὰς] καὶ πάγας.
825. ἀσπιδηφόρος Blomfieldus] ἀσπιδηστρόφος quod mireris cuiquam in mentem venisse.
830. ἃ] τὰ.
834. καρδίᾳ Casaubonus] καρδίαν.
835. πεπαμένῳ Porsonus] πεπαμμένῳ.
838. *bene enim scio inanem speciem amicitiae* h. e. homines prorsus fallaces *amicissimos se profiteri; unus autem Ulixes, qui speciem nullam exhibuerat, vere amicus erat.* ὁμιλίας κάτοπτρον is est qui imaginem amicitiae praebet, re caret; aliter ac Gregorius Nazianzenus Ep. 93. ὁμιλίας σκιὰν posuit.
850. πῆμ᾽ ἀποστρέψαι νόσου Porsonus] πήματος τρέψαι νόσον.

νῦν δ' ἐς μέλαθρα καὶ δόμους ἐφεστίους
ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν.
νίκη δ' ἐπείπερ ἕσπετ', ἐμπέδως μένοι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ' ἀποφθίνει
τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα
μαθοῦσ', ἐμαυτῆς δύσφορον λέξω βίον,
τοσόνδ' ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίῳ,
τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
ἧσθαι δόμοις ἔρημον ἔκπαγλον κακὸν,
πολλὰς κλύουσαν κληδόνας παλιγκότους·
καὶ τὸν μὲν ἥκειν, τὸν δ' ἐπεισφέρειν κακοῦ
κάκιον ἄλλο πῆμα, λάσκοντας δόμοις.
καὶ τραυμάτων μὲν εἰ τοσῶνδ' ἐτύγχανεν
ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο
φάτις, τέτρωται δικτύου πλέω λέγειν.
εἰ δ' ἦν τεθνηκὼς ὡς ἐπλήθυνον λόγοι,
τρισώματός τἂν Γηρυὼν ὁ δεύτερος
κλύων ἄνωθεν, τίς κάτω γὰρ, οὐ λέγω,
χθονὸς τρίμοιρον χλαῖναν ἐξηύχει λαβεῖν
ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων,
πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
ἔλυσαν ἄλλαι πρὸς βίαν Ἑλληνίδες.

---

863. κληδόνας Auratus] ἡδονάς.
866. τοσῶνδ'] τόσων.
869. sicut multiplicabat fama.
871. κλύων] πολλήν. τίς] τὴν. τίς κάτω γὰρ, οὐ λέγω: nam *infra* Cerberus alter appellandus erat. κάτω in rebus inferorum apud tragicos usitatum est; Ant. 75, οἱ κάτω. Conf. Axiochi 327 A, ὥστε ἢ κάτω ἢ ἄνω εὐδαιμονεῖν σε δεῖ. ceterum conf. Ovidii Met. 9. 185, *nec me* pastoris Iberi *forma triplex nec forma triplex tua* Cerbere *movit*.
872. λαβεῖν] λαβὼν parum graece: conf. Ant. 390, Phil. 869, Eur. Suppl. 504.
876. ἄλλαι] ἄλλοι. Ἑλληνίδες] λελημμένης. scilicet opprobrio ceteris futurum erat unam Clytaemnestram desiderio viri sui occubuisse.

ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ,
ἐμῶν τε καὶ σῶν κύριος πιστευμάτων,
ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσῃς τόδε.
τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος
Στρόφιος ὁ Φωκεύς, ἀμφίλεκτα πήματα
ἐμοὶ προφωνῶν, τόν θ' ὑπ' Ἰλίῳ σέθεν
κίνδυνον, εἴ τε δημόθρους ἀναρχία
βουλὴν καταρρίψειεν, ὥστε σύγγονον
βροτοῖσι, τὸν πεσόντα λακτίσαι πλέον.
τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει.
ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι
πηγαὶ κατεσβήκασιν, οὐδ' ἔνι σταγών.
ἐν ὀψικοίτοις δ' ὄμμασι βλάβας ἔχω,
τὰς ἀμφί σοι κλαίουσα λαμπτηρουχίας
ἀτημελήτους αἰέν. ἐν δ' ὀνείρασι
λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
ῥιπαῖσι θωύσσοντος, ἀμφί σοι πάθη
ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
νῦν ταῦτα πάντα τλᾶσ', ἀπενθήτῳ φρενὶ
λέγοιμ' ἂν ἄνδρα τόνδε, τῶν σταθμῶν κύνα,
σωτῆρα ναὺς πρότονον, ὑψηλῆς στέγης
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρί,
γαῖαν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος,
τοιοῖσδέ τοί νιν δεξιῶ προσφθέγμασιν.
φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακὰ

---

899. γαῖαν Blomfieldus] καὶ γῆν.
902 post 911 posui.
903. δεξιῶ] ἀξιῶ soloece: ἀξιῶ enim τινὰ τινὸς non τινί. δεξιοῦμαι autem hic unice aptum est: conf. Soph. El. 976, τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται. Pausan. 2. 16. 2, λόγοις τε χρηστοῖς καὶ ἔργοις δεξιώσασθαι. activam formam olim usitatam fuisse ostendit Etymol. Magnum, δεξιῶ καὶ δεξιοῦμαι posito, tum nomen Δεξιῶν ab Atheniensibus Sophocli datum; vide Etymol. M. p. 256. 7, Δεξιών (scr. Δεξίων)· οὕτως ὠνόμασται Σοφοκλῆς ὑπὸ Ἀθηναίων. μετὰ τὴν τελευτήν φασιν ὅτι Ἀθηναῖοι βουλόμενοι τιμὰς αὐτῷ περιποιῆσαι ἡρῷον αὐτῷ κατασκευάσαντες ὠνόμοσαν Δεξίωνα (an Δεξιοῦντα?) ἀπὸ τῆς τοῦ Ἀσκληπιοῦ δεξιώσεως· καὶ γὰρ ὑπεδέξατο τὸν θεὸν ἐν τῇ αὐτοῦ οἰκίᾳ.

ἠνειχόμεσθα· νῦν δ᾽ ἐμοὶ φίλον κάρα,
ἔκβαιν᾽ ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
τὸν σὸν πόδ᾽ ὦναξ, Ἰλίου πορθήτορα.
δμωαὶ, τί μέλλεθ᾽, αἷς ἐπέσταλται τέλος
πέδον κελεύθου στρωννύναι πετάσμασιν;
εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος
ἐς δῶμ᾽ ἄελπτον ὡς ἂν ἡγῆται δίκῃ.
902 τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.
τὰ δ᾽ ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη
θήσει δικαίως ξὺν θεῶν εἱμαρμένῃ.

ΑΓΑΜΕΜΝΩΝ.

Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ·
μακρὰν γὰρ ἐξέτεινας· ἀλλ᾽ ἐναισίμως
αἰνεῖν, παρ᾽ ἄλλων χρὴ τόδ᾽ ἔρχεσθαι γέρας·
καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
ἅβρυνε μηδὲ βαρβάρου φωτὸς δίκην
χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοὶ,
μηδ᾽ εἵμασι στρώσασ᾽ ἐπίφθονον πόρον
τίθει· θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών·
ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου.
λέγω κατ᾽ ἄνδρα, μὴ θεὸν, σέβειν ἐμέ.
χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
κληδὼν ἀϋτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν
θεοῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρὴ
βίον τελευτήσαντ᾽ ἐν εὐεστοῖ φίλῃ.
εἰ πάντα δ᾽ ὡς πράσσοιμεν, εὐθαρσὴς ἐγώ.

ΚΛΥΤΑΙΜΜΗΣΤΡΑ.

καὶ μὴν τόδ᾽ εἶκε μὴ παρὰ γνώμην ἐμοί.

ΑΓΑΜΕΜΝΩΝ.

γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ᾽ ἐμέ.

---

911. δίκῃ quo convenit modo] δίκη.

913. σὺν θεῶν εἱμαρμένῃ] σὺν θεοῖς εἱμαρμένα. utrumque vitium ex finibus vocabulorum lineis pro litteris expressis ortum.

931. εἶκε S. S. p. 33] εἰπέ. *at hoc mihi indulge, ne tamen contra sententiam tuam.*

932. *scito me nunquam passurum esse sententiam meam corrumpi.*

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε.

ΑΓΑΜΕΜΝΩΝ.

εἴπέρ τις, εἰδώς γ' εὖ τόδ' ἐξεῖπον θέλος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δ' ἂν δοκεῖ σοι Πρίαμος εἰ τάδ' ἤνυσεν;

ΑΓΑΜΕΜΝΩΝ.

ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μή νυν τὸν ἀνθρώπειον αἰδεσθῇς ψόγον

ΑΓΑΜΕΜΝΩΝ.

φήμη γε μέντοι δημόθρους μέγα σθένει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.

ΑΓΑΜΕΜΝΩΝ.

οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.

ΑΓΑΜΕΜΝΩΝ.

ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πειθοῦς κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοί.

---

934. *quod si in periculo versarere, voturus eras diis si haec facere licuisset;* 'oraturus eras deos ut aliquando ovans domum redires. quod si deos orare potes ut haec ipsa tibi dent, deorum animos haec non possunt offendere.' simili argumento utitur Thucydidis Cleo. 3, 40, γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ τοῦ πάσχειν καὶ ὡς πρὸ παντὸς ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι νῦν ἀνταπόδοτε μὴ μαλακισθέντες πρὸς τὸ παρὸν αὐτίκα μηδὲ τοῦ ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες. *if the world is worth thy winning, think, O think it worth enjoying.* (falsa esse quae in S. S. p. 34 protuleram primus me monuit praeceptor carissimus G. Ridding.) θέλος] τέλος. *si quis alius ex animi sententia hoc votum nuncupavi.* θέλος nusquam inveni.

943. πειθοῦς] πιθοῦ. *saltem* persuadendi *victoriam sine me capessere;* tu *litis* victoriam habe. γε persaepe μέντοι sequi uno verbo interposito docuit Porsonus.

ΑΓΑΜΕΜΝΩΝ.

ἀλλ' εἰ δοκεῖ σοι ταῦθ', ὑπαί τις ἀρβύλας
λύοι τάχος πρόδουλον ἔμβασιν ποδός.
καὶ τοῖσδέ μ' ἐμβαίνονθ' ἁλουργέσιν θεῶν
μή του πρόσωθεν ὄμματος βάλοι φθόνος.
πολλὴ γὰρ αἰδὼς δωματοφθορεῖν, ποσὶν
φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.
τοὐμὸν μὲν οὕτω· τὴν ξένην δὲ πρευμενῶς
τήνδ' ἐσκόμιζε· τὸν κρατοῦντα μαλθακῶς
θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται.
ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ.
αὕτη δὲ πολλῶν χρημάτων ἐξαίρετον
ἄνθος, στρατοῦ δώρημ' ἐμοὶ ξυνέσπετο.
ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε,
εἶμ' ἐς δόμων μέλαθρα, πορφύρας πατῶν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔστιν θάλασσα, τίς δέ νιν κατασβέσει;
τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον
κηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς.
οἶκος δ' ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ,
ἔχειν· πένεσθαι δ' οὐκ ἐπίσταται δόμος.
πολλῶν πατησμὸν δ' εἱμάτων ἂν ηὐξάμην,
δόμοισι προὐνεχθέντος ἐν χρηστηρίοις,
ψυχῆς κομίστρα τῆσδε μηχανωμένη.
ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ' ἐς δόμους,
σκιὰν ὑπερτείνουσα σειρίου κυνός.
καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν,

---

947. του] τις.

948. δωματοφθορεῖν (i. q. Platonis οἰκοφθορεῖν, Legg. p. 929, de sene demente οἰκοφθορῇ δὲ ὡς ὢν τῶν αὑτοῦ κύριος bona sua dissupet: quod Clytaemnestra refellit)] σωματοφθορεῖν. invenit Schuetzius.

950. τοὐμὸν Emperius] τούτων.

953. ergo unus quisque in servitutem cadere potest.

954. αὕτη Auratus] αὐτή.

959. ἰσάργυρον Salmasius suadente Athenaeo] εἰς ἄργυρον.

961. οἶκος domus hoc est thesaurus ingens: cf. O. T. 178, ὧν πόλις ἀνήριθμος ὄλλυται, hoc est ingens numerus.

963. δ' εἱμάτων Canterus] δειμάτων.

967. ὑπερτείνουσα] ὑπερτείνασα.

θάλπος μὲν ἐν χειμῶνι σημαίνει μολόν·
ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς
οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει,
ἀνδρὸς τελείου δῶμ' ἐπιστρωφωμένου.
Ζεῦ Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει·
μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.

ΧΟΡΟΣ.

Τίπτε μοι τοδ' ἐμπέδως — στρ. α΄.
δεῖμα προστατήριον
καρδίας τερασκόπου ποτᾶται,
μαντιπολεῖ δ' ἀκέλευστος ἄμισθος ἀοιδός·
οὐδ' ἀποπτύσαι δίκαν
δυσκρίτων ὀνειράτων
θάρσος εὐπειθὲς ἵ-
ζει φρενὸς φίλον θρόνον;
χρόνος δ' ἐπεὶ πρυμνησίων ξὺν ἐμβόλοις
ψαμμίοις ἀκμὰ παρή-
βησεν, εὖθ' ὑπ' Ἴλιον
ὦρτο ναυβάτας στρατός.
Πεύθομαι δ' ἀπ' ὀμμάτων — ἀντ. α΄.
νόστον, αὐτόμαρτυς ὤν.
τὸν δ' ἄνευ λύρας ὅμως ὑμνῳδεῖ
θρῆνον Ἐρινύος αὐτοδίδακτος ἔσωθεν
θυμὸς, οὐ τὸ πᾶν ἔχων
ἐλπίδος φίλον θράσος.

---

969. σημαίνει μολόν *nuntiat adventum suum;* sicut 293 in luce. φῶς σημαίνει μολόν; nam neque lux neque calor nuntii egent, quippe quae αὐτάγγελα sint sentientibus] σημαίνεις μολών.

970. ἀπ' Auratus] τἀπ'.

979. ἀοιδός] ἀοιδά. conf. γ 267, πὰρ δ' ἄρ' ἔην καὶ ἀοιδὸς ἀνὴρ ᾧ πόλλ' ἐπέτελλεν Ἀτρείδης Τροίηνδε κιὼν εἴρυσθαι ἄκοιτιν.

982. εὐπειθὲς Westphalius] εὐπιθές.

984. χρόνος δ' ἐπεὶ tempus est (cum hic terror in animo haeret) ex quo cet.

984. ξὺν ἐμβόλοις ψαμμίοις ἀκμὰ] ξυνέμβολοι ψαμμίας ἀκάτας. vertit versum Homericum δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται: eo enim tempore ὑπ' Ἴλιον ὦρτο ναυβάτας στρατός; quam historiam continet Iliadis B. tum autem primum cum Aegistho Clytaemnestra adulterium fecit; vide Odysseae δ΄. S. S. p. 17.

990. ὅμως Stanleius] ὅπως.

991. Ἐρινύος Porsonus] Ἐριννύς.

σπλάγχνα δ' οὔτοι ματᾴ-
ζει πρὸς ἐνδίκοις φρεσὶν
τελεσφόροις δίναις κυκλούμενον κέαρ.
εὔχομαι τάδ' ἐξ ἐμᾶς
ἐλπίδος ψύθη πεσεῖν,
ἐς τὸ μὴ τελεσφόρον.
Μάλα τοι τᾶς πολλᾶς ὑγιείας — στρ. β'.
ἀκόρεστον τέρμα· νόσος γὰρ ἀεὶ
γείτων ὁμότοιχος ἐρείδει·
καὶ πότμος εὐθυπορῶν
ἀνδρὸς ἔπαισεν ἄφαντον ἕρμα.
καί τι μὲν πρὸ χρημάτων
κτησίων ἄκος βαλών,
σφενδόνας ἀπ' εὐμέτρου,
οὐκ ἔδυ πρόπας δόμος
πημονᾶς γέμων ἄγαν·
οὐδ' ἐπόντισε σκάφος.
πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλαφής τε καὶ ἐξ ἀλόκων
ἐπετειᾶν
νῆστιν ὤλεσεν νόσον.
Ἐπὶ γᾶν δὲ πεσόντος ἅπαξ θανασίμου — ἀντ. β'.
οὐ πρόπαρ ἀνδρὸς μέλαν αἷμα τίς ἂν
πάλιν ἀγκαλέσαιτ' ἐπαείδων;
οὐδέ τιν' ὀρθοδαῆ

---

997. κυκλούμενον transitive accipiendum.
998. τάδ'] δ'.
999. ψύθη Stephanus] ψύδη.
1000. μάλα τοι] μάλα γάρ τοι. patet autem versum anapaesticum esse. conf. Hippocr. Littraei 2, 240, μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμένοι εἰσὶν οἱ ἰητροί, p. 260, p. 264.
1001. ἀεὶ addidit Blomfieldus.
1008. τι] τὸ.
1009. ἄκος] ὄκνος. quod quale sit ne cogitando quidem invenire possum. praeterea verba βαλὼν et σφενδόνας longe alia translatio est atque ἔδυ et ἐπόντισε. *et remedio aliquo pro fortunis callide invento erigere se potest domus, quamquam valde laborans.* fortuna enim hominis est navis in qua vehitur, sive vela navis.
1012. πημονᾶς Victorius] πημονὰς.
1018. ἐπὶ γᾶν δὲ πεσόντος ἅπαξ θανασίμου] τὸ δ' ἐπὶ γᾶν πέσονθ' ἅπαξ θανάσιμον. versum anapaesticum restitui.
1019. οὐ addidi. οὐ πρόπαρ *non antiquitus*: ergo si recentem mortem ad vitam revocare nequis, nulla vi antiquam revocabis.
1023. τιν'] τόν.

τῶν φθιμένων ἀνάγειν ἀκούω.
εἰ δὲ μὴ τεταγμένα
μοῖρα πρόσθεν ἐκ θεῶν
εἶργε μὴ πλέον φέρειν,
προφθάσασα καρδία
γλῶσσαν ἄν τιν' ἐξέχει.
νῦν δ' ὑπὸ σκότῳ βρέμει
θυμαλγής τε, καὶ οὐδὲν ἐπελπομένα ποτὲ καίριον ἐκτολυπεύσειν
ζωπυρουμένας φρενός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εἴσω κομίζου καὶ σύ· Κασάνδραν λέγω·
ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις
κοινωνὸν εἶναι χερνίβων, πολλῶν μέτα
δούλων σταθεῖσαν κτησίου βωμοῦ πέλας,
ἔκβαιν' ἀπήνης τῆσδε· μηδ' ὑπερφρόνει.
καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ
πραθέντα τλῆναι δουλίας μάζης βίον.
εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιρρέποι τύχης,
ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις.
οἳ δ' οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς,

---

1023. ἀκούω addidi. ecce reliquias opimae caenae quam scholiasta aliquis paraverat, doctrinam venditaturus; Ζεὺς αὔτ' (lege αὐτὸν) ἔπαυσεν ἐπ' εὐλαβείᾳ. conf. Hippocrat. Littraei 2. 364, ὅταν καιρός τινος αὐτῶν ᾖ χρέεσθαι. placet doctum medicum sententiae quoque testem adhibere: ibid. p. 318, τὰ δὲ τοιαῦτα μάλιστα καθυβρίζεται τῶν χειρωνακτέων ὑπὸ τῶν ἀνθρώπων. δοκέει γὰρ αὐτοῖσιν ὁ ἐσελθὼν ἰητρὸς ὡσπερεὶ τεθνεῶτα ἀναστῆσαι.

1026. πρόσθεν] μοῖραν iterato praecedente vocabulo. ceterum μοῖρα τεταγμένα ἐκ θεῶν idem est quod τὸ μοῖράν τινα τετάχθαι nota locutione. confer Nägelsbachiani *Lateinische Stylistik*, § 30.

1029. τιν'] τάδ'. sed quid? γλῶσσά τις est *dictum aliquod*. conf. Trach. 324, γλῶσσαν ἥτις οὐδαμὰ προὔφηνεν οὔτε μείζον' οὔτ' ἐλάσσονα: quem versum in S. S. p. 31 emendavimus.

1036. ἀμηνίτως *pro bonitate sua: of his good pleasure.* locutio priscae relligionis plena. rem large illustrabit *'Alf lailat*, p. 894. 13 editionis Berytensis.

1041. βίον Blomfieldus] βία. τλῆναι βίον eodem modo quo ἔτλην ανέρος εὐνήν dictum.

ὦμοί τε δούλοις πάντα, καὶ παρὰ στάθμην.
ἔχεις παρ' ἡμῖν οἷάπερ νομίζεται.

ΧΟΡΟΣ.

σοί τοι λέγουσα παύεται σαφῆ λόγον.
ἐντὸς δ' ἂν οὖσα μορσίμων ἀγρευμάτων,
πείθοι' ἂν εἰ πείθοι'· ἀπειθοίης δ' ἴσως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀλλ' εἴπερ ἐστὶ μὴ χελιδόνος δίκην
ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη,
ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ.

ΧΟΡΟΣ.

ἕπου. τὰ λῷστα τῶν παρεστώτων λέγει.
πιθοῦ, λιποῦσα τόνδ' ἁμαξήρη θρόνον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔτοι θυραίαν δῆτ' ἐμοὶ σχολὴ πάρα
τρίβειν· τὰ μὲν γὰρ Ἑστίας Μεσομφάλου
ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρός.
ὡς οὔποτ' ἐλπίσασα τήνδ' ἕξει χάριν.
σὺ δ' εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει.
εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχει λόγον,
σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί.

ΧΟΡΟΣ.

ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ
δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον

---

1045. παρὰ στάθμην. *ad regulam* pensa reposcunt.

1046. ἡμῖν] ἡμῶν. ἔχεις *audis* sicut in ἔχεις τι κεισήκουσας.

1048. ἐντὸς δ' ἂν οὖσα. 'sive obsequeris sive detrectabis, utrumque ut cui res non integra sit facies.

1055. δῆτ'] τήνδ'. ex quo aegre aliquid torseris.

1056. τὰ μὲν γὰρ Ἑ. Μ. 'oves enim Vestae' cet.

1058. ἐλπίσασα] ἐλπίσασι. ἕξει] ἕξειν. confer πρὸς δῶμ' ἄελπτον v. 911. οἱ δ' οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς v. 1944. si Graeci notam ! agnoscerent, huic versui apposuissem.

ἥκει, χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν,
πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος.
οὐ μὴν πλέω ῥίψασ' ἀτιμωθήσομαι.

ΧΟΡΟΣ.

ἐγὼ δ' ἐποικτείρω γάρ, οὐ θυμώσομαι.
ἴθ' ὦ τάλαινα τόνδ' ἐρημώσασ' ὄχον,
εἴκουσ' ἀνάγκῃ τῇδε καίνισον ζυγόν.

ΚΑΣΑΝΔΡΑ.

Ὀτοτοτοτοῖ ποποῖ δᾶ. στρ. α'.
Ἄπολλον Ἄπολλον.

ΧΟΡΟΣ.

τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου;
οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ κλύειν.

ΚΑΣΑΝΔΡΑ.

Ὀτοτοτοτοῖ ποποῖ δᾶ. ἀντ. α'.
Ἄπολλον Ἄπολλον.

ΧΟΡΟΣ.

ἡ δ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ,
οὐδὲν προσῆκον, ἐν γόοις παραστατεῖν.

ΚΑΣΑΝΔΡΑ.

Ἄπολλον Ἄπολλον στρ. β'.
ἀγυιᾶτ' ἀπόλλων ἐμός.
ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον.

ΧΟΡΟΣ.

χρήσειν ἔοικεν ἀμφὶ τῶν αὑτῆς κακῶν.
μένει τὸ θεῖον δουλίᾳ περὶ φρενί.

ΚΑΣΑΝΔΡΑ.

Ἄπολλον Ἄπολλον ἀντ. β'.

---

1071. εἴκουσ' Sophianus] ἑκοῦσ'.
1075. κλύειν] τυχεῖν quod sensu caret. simili modo v. 640 peccatum est.
1079. προσῆκον] προσήκοντ'.
1084. περὶ] παρεν vel παρ' ἓν; scilicet boni librarii de productione syllabae ante φρ dubitabant.

ἀγυιᾶτ' ἀπόλλων ἐμός.
ἆ ποῖ ποτ' ἤγαγές με; πρὸς ποίαν στέγην;

ΧΟΡΟΣ.

πρὸς τὴν 'Ατρειδῶν· εἰ σὺ μὴ τόδ' ἐννοεῖς,
ἐγὼ λέγω σοι· καὶ τάδ' οὐκ ἐρεῖς ψύθη.

ΚΑΣΑΝΔΡΑ.

Ἆ ἆ
μισοθέου μὲν οὖν (πολλὰ συνίστορα — στρ. γ'.
αὐτόφονα κακὰ κἀρτάναι)
ἀνδρὸς σφαγεῖον καὶ πέδον ῥαντήριον.

ΧΟΡΟΣ.

ἔοικεν εὔριν ἡ ξένη κυνὸς δίκην
εἶναι, ματεύειν δ' ὡς ἀνευρήσει φόνον.

ΚΑΣΑΝΔΡΑ.

μαρτυρίοισι γὰρ τοῖσδ' ἐπιπείθομαι· — ἀντ. γ'.
κλαιόμενα τάδε βρέφη σφαγὰς,
ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας.

ΧΟΡΟΣ.

ἦμεν κλέος σοῦ μαντικὸν πεπυσμένοι·
τούτων προφήτας δ' οὔτινας ματεύομεν.

---

1090. *μισοθέου*] *μισόθεον μισοθέου ἀνδρὸς* hoc est *'Ατρέως*. conf. 1590 de eodem *τοῦδε δύσθεος πατήρ*. *σφαγεῖον* vas est; Hesych. *ἐν ᾧ τὸ τῶν ἱερείων ὑποδέχεται* (scr. *ὑποδέχονται*) *αἷμα*. (tum dele v. *τόπος* quod ex proximo glossemate illatum est.) Suidas et Photius similia praebent. *πέδον ῥαντήριον* suspicor esse spatium circa altare scobe vel arena superiecta instructum ad guttas sanguinis excipiendas. rem videtur tangere Plinius xi. 112. *in theatrorum orchestris scobe aut arena superiecta vox devoratur.* confer Pind. I. 8. 110, *μέλανι ῥαίνων φόνῳ πεδίον*. tum Senecae Thyest. 690 de Atreo: *ipse est sacerdos, ipse funesta prece letale carmen ore violento canit. stat ipse ad aras. ipse devotos neci contrectat et componit et ferrum admovet.*

1094. *ματεύειν*] *ματεύει*. *ὡς*] *ὧν*. *ἀνευρήσει* Porsonus] *ἂν εὑρήσῃ*. indagare eo modo quo inventura est..

1099. *τούτων* Scholiasta (*τοὺς λέξοντας ἡμῖν περὶ σοῦ· αὐτοὶ γὰρ αὐτόπται γινόμεθα*: quae sic corrigenda sunt; *περὶ τούτων* et *ἐγενόμεθα*)] *ἦμεν* iterato verbo prioris versus eiusdem loci. *ματευόμεν* Schuetzius] *μαστεύομεν*.

ΚΑΣΑΝΔΡΑ.

Ἰὼ ποποῖ, τί ποτε μήδεται; στρ. δ'.
τί τόδε νέον ἄχος; μέγα
μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακὸν
ἄφερτον φίλοισιν, δυσίατον· ἀλκὰ δ'
ἑκὰς ἀποστατεῖ.

ΧΟΡΟΣ.

τούτων ἄιδρίς εἰμι τῶν μαντευμάτων.
ἐκεῖνα δ' ἔγνων· πᾶσα γὰρ πόλις βοᾷ.

ΚΑΣΑΝΔΡΑ.

Ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς; ἀντ. δ'.
τὸν ὁμοδέμνιον πόσιν
λόγοισι φαιδρύνασα πῶς φράσω τέλος;
τάχος γὰρ τόδ' ἔσται· προτείνει δὲ χεῖρ' ἐκ
χερὸς ὀρέγματα.

ΧΟΡΟΣ.

οὔπω ξυνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.

ΚΑΣΑΝΔΡΑ.

Ἒ ἕ, παπαῖ παπαῖ, τί τόδε φαίνεται; στρ. ε'.
ἦ δίκτυόν τόδ' Ἅιδου;
ἀλλ' ἄρκυς ἡ ξύνευνος, ἡ ξυναιτία
γένει. στάσις δ' ἀκόρετος φόνου

---

1109. λόγοισι quod poetam scripsisse ostendit v. 1228] λουτροῖσι. errorem eiusdem generis in Oed. Tyr. v. 375 animadvertit Heimsoethius ubi codex nescio quis μιᾶς τρέφει πρὸς νυκτὸς ὥστε μήτ' ἐμὲ μήτ' ἄλλον ὅστις φῶς ὁρᾷ βλέψαι ποτ' ἂν pro βλάψαι exhibet. λόγοισι flagitat etiam v. 1120 οὔ με φαιδρύνει λόγος quod hunc versum revocat. praeterea φαιδρύνουσα scribendum fuisset. (vis Euripidei loci Hel. 676, λουτρῶν καὶ κρηνῶν ἵνα θεαὶ μορφὰν ἐφαίδρυναν huic prorsus dissimilis est.)

1111. ὀρέγματα Hermannus] ὀρεγομενα.

1115. τόδ'] τί γ'.

1117. ἡ ξυναιτία γένει· στάσις δ' ἀκόρετος φόνου] ἡ ξυναιτία φόνου· στάσις δ' ἀκόρετος γένει. quorum neutrum ullo pacto dici poterat. neque enim eum qui arborem bipenni caedit *socium bipennis* recte vocaveris; nec ἀκόρετος cum dativo coniungi solet, quod v.

*κατολολυξάτω θύματος λευσίμου.*

ΧΟΡΟΣ.

*ποίαν Ἐρινὺν τήνδε δώμασιν κέλει*
*ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος·*
*ἐπὶ δὲ καρδίαν κροκοβαφὴς δράμε*
*σταγὼν, ἅτε καρδίᾳ πτώσιμος*
*ξυνανύτει βίου δύντος αὐγαῖς.*
*ταχεῖα δ' ἄτα πέλει.*

ΚΑΣΑΝΔΡΑ.

*Ἆ ἆ· ἰδοὺ ἰδού· ἄπεχε τῆς βοός.* *ἀντ. ε΄.*
*τὸν ταῦρον ἐν πέπλοισι*
*μελάγκερων λαβοῦσα μηχανήματι*
*τύπτει· πίτνει δ' ἐν ἐνύδρῳ κύτει*
*δολοφόνου λέβητος τέχναν σοι λέγω.*

ΧΟΡΟΣ.

*οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος*
*εἶναι, κακῷ δέ τῳ προσεικάζω τάδε.*
*ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις*
*βροτοῖς στέλλεται; κακῶν γὰρ διαὶ*

---

1143 docebit: neque *familiae* aut *gentis* satietas sicut cibi satietas audita est. Praeterea nisi verbo quale est γένει monitus erit lector de qua re agatur, στάσις nequaquam intelliget. ergo mutavi.

1121. κροκοβαφὴς δράμε Enger] ἔδραμε κροκοβαφής.

1122. καρδίᾳ] καὶ δορία. *quae in cor simul cum occasu vitae cadit.* κροκοβαφὴς σταγὼν gutta est *fellis* quam in os moribundi hominis cadere Iudaeorum est superstitio. audi Buxtorfium in Lexici Talmudici col. 1181. *In Avodah Sarah* (scr. ʿăbhōdhāh zārāh) *fol.* 20. *col.* 2. *Angelus mortis totus plenus est oculis. tempore decessus aegroti stat ad cervicale eius cum gladio districto in manu sua* in qua gutta fellis vel veneni dependet. *Quamprimum aegrotus ipsum videt, trepidat et aperit os suum et tum inspergit ei guttam illam in os. Ab illa moritur, ab illa fit foetidus, ab illa flavescit eius facies.*

1127. μελαγκέρων hoc est αὐτοῖς τοῖς κέρασι. nam si *cornibus*, hoc est *manibus* uti potuisset, non interfectus esset.

1128. ἐν addidit Schuetzius. κύτει Blomfieldus] τεύχει.

1129. τέχναν Weilius] τύχαν. eandem corruptelam huius verbi corrigemus ad v. 1230.

1133. κακῶν διαὶ πολυεπεῖς *multa ac mala loquentes*, quocum conferas διὰ ψευδῶν ἔπη. τέχνᾳ] τέχναι, θεσπιωδοί Hermannus] θεσπιωδόν. *horum*

πολυεπεῖς τέχνᾳ θεσπιωδοὶ
φόβον φέρουσιν μαθεῖν.

ΚΑΣΑΝΔΡΑ.

Ἰὼ ἰὼ ταλαίνας κακόποτμοι τύχαι. στρ. στʹ.
τὸ γὰρ ἐμὸν θροεῖ πάθος ἐπεγχέαι.
τί δή με δεῦρο τὴν τάλαιναν ἤγαγες
οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην; τί γάρ;

ΧΟΡΟΣ.

φρενομανής τις εἶ θεοφόρητος, ἀμ-
φὶ δ' αὑτᾶς θροεῖς
νόμον ἄνομον, οἷά τις ξουθὰ
ἀκόρετος βοᾶς, φεῦ ταλαίναις φρεσὶν
Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς
ἀηδὼν βίον.

ΚΑΣΑΝΔΡΑ.

Ἰὼ ἰὼ λιγείας μόρον Ἀηδόνος ἀντ. στʹ.
περιβάλον γάρ οἱ πτεροφόρον δέμας
θεοί, γλυκύν τ' αἰῶνα κλαυμάτων ἄτερ·
ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί.

ΧΟΡΟΣ.

πόθεν ἐπισσύτους θεοφόρους ἔχεις
ματαίους δύας,
τὰ δ' ἐπιφόβα δυσφάτῳ κλαγγᾷ
μελοτυπεῖς, ὁμοῦ τ' ὀρθίοις ἐν νόμοις;
πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ
κακορρήμονος;

---

*artificium est timores affere.* conf. Stat. Theb. 3. 661, *primus in orbe deos fecit timor;* 665 *procul haec tibi mollis infula terrificique aberit dementia Phoebi.* διαὶ Hermannus] διά.

1137. τὸ γὰρ ἐμὸν θροεῖ πάθος ἐπεγχέαι idem quod 1263 κἀπεύχεται θήγουσα φωτὶ φάσγανον ἐμῆς ἀγωγῆς ἀντιτίσεσθαι φόνον] θροῶ ... ἐπεγχέασα.

1138. τί] ποῖ.

1146. μόρον ἀηδόνος Hermannus] ἀηδόνας μόρον.

1147. περιβάλον Blomfieldus] περιβάλοντο.

1150. ἔχεις Hermannus] τ' ἔχεις.

1154. Unde terminos habes? hoc est quid te limitem docet?

1155. κακορρήμονος] κακορρήμονας quod sensu caret.

ΚΑΣΑΝΔΡΑ.

Ἰὼ γάμοι γάμοι Πάριδος ὀλέθριοι φίλων. στρ. ζ'.
ἰὼ Σκαμάνδρου πάτριον ποτόν.
τότε μὲν ἀμφὶ σὰς ἀϊόνας τάλαιν'
ἠνυτόμαν τροφάς·
νῦν δ' ἀμφὶ Κωκυτόν τε κἀχερουσίους
ὄχθας ἔοικα θεσπιῳδήσειν τάχα.

ΧΟΡΟΣ.

τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω;
νεογνὸς ἀνθρώπων μάθοι.
πέπληγμαι δ' ὑπὲρ δήγματι φοινίῳ
δυσαλγεῖ τύχᾳ μινυρὰ θρεομένας,
θαύματ' ἐμοὶ κλύειν.

ΚΑΣΑΝΔΡΑ.

Ἰὼ πόνοι πόνοι πόλεος ὀλομένας τοπᾶν. ἀντ. ζ'.
ἰὼ πρόπυργοι θυσίαι πατρὸς
πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος δ'
οὐδὲν ἐπήρκεσαν,
τὸ μὴ πόλιν μὲν, ὥσπερ οὖν ἔχει, παθεῖν·
ἐγὼ δὲ θρόμβων οὓς τάχ' ἐν πέδῳ βαλῶ.

ΧΟΡΟΣ.

ἑπόμενα προτέροισι τάδ' ἐφημίσω.
καί τίς σε κακοφρονῶν τίθη-
σι δαίμων ὕπερθεν βαρὺς ἐμπίτνων,
μελίζειν πάθη γοερὰ θανατοφόρα·
τέρμα δ' ἀμηχανῶ.

---

1159. τροφάς coll. Pr. 700] τροφαῖς.
1161. ὄχθας Casaubonus] ὄχθους.
1164. ὑπὲρ] ὑπὸ. conf. 791, δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται.
1165. δυσαλγεῖ Cauteri] δυσαγγεῖ.
1166. μινυρὰ Blomf. pro μινυρὰ κακὰ.
1167. ὀλομένας Porsonus] ὀλουμένας.
1171. ἔχει Stanleius] ἔχειν.
1172. ἐγὼ δὲ θρόμβων] ἐγὼ δὲ θερμόνους vocabulis male divisis: S. S. p. 19. cf. Nägelsbachiani Lat. Stat. § 148, v. 1239.
1174. κακοφρονῶν Schuetzius] κακοφρονεῖν.
1175. ὕπερθεν βαρὺς] ὑπερβαρής.

ΚΑΣΑΝΔΡΑ.

καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
ἔσται δεδορκὼς νεογάμου νύμφης δίκην·
λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς
πνέων ἐσῄξειν, ὥστε κύματος δίκην
κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ
μεῖζον· φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν
ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων.
τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
ξύμφθογγος, οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,
δύσπεμπτος ἔξω ξυγγόνων Ἐρινύων.
ὑμνοῦσι δ' ὕμνον δώμασιν προσήμεναι
πρώταρχον ἄτην· ἐν μέρει δ' ἀπέπτυσαν
εὐνὰς ἀδελφοῦ τῷ πατοῦντι δυσμενεῖς.
ἥμαρτον, ἢ τηρῶ τι τοξότης τις ὥς;
ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων;
ἐκμαρτύρησον, προυμόσας, τὸ μὴ εἰδέναι
λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων.

ΧΟΡΟΣ.

καὶ πῶς ἂν ὅρκος, ῥῆμα γενναίως παγέν,
παιώνιος γένοιτο; θαυμάζω δέ σου,
πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν
κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις.

---

1182. πρὸς αὐγὰς in luce. τοῦδε πήματος mea morte. κλύζειν Auratus] κλύειν. noli miscere translationes quarum utraque pro se bene habet. ceterum confer Thucyd. 2. 84, εἰ ἐκπνεύσαι ἐκ τοῦ κόλπου τὸ πνεῦμα ὅπερ ἀναμένων τε περιέπλει καὶ εἰώθει γίγνεσθαι ἐπὶ τὴν ἕω.

1184. συνδρόμως, mecum currentes.

1194. τηρῶ non mutandum est; cf. Plauti Rud. 1093, 'viden scelestus ut aucupatur?' solita ratio θηρῶ vel κυρῶ substituentium epitheton aliquod flagitaret; sicut 628, τοξότης ἄκρος, Platon. Legg. p. 934, τοξότου μὴ κακοῦ στοχάζεσθαι δίκην; neque enim omnes sagittarii configunt sed boni.

1196. τὸ μὴ Dobraeus] τό μ', vide S. S. p. 31. nunquam fando audivisse.

1198. ῥῆμα, S. S. ibid.] πῆμα.

1199. παιώνιος] παιώνιον.

ΚΑΣΑΝΔΡΑ.

μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει.

ΧΟΡΟΣ.

μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος;

ΚΑΣΑΝΔΡΑ.

προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.

ΧΟΡΟΣ.

ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.

ΚΑΣΑΝΔΡΑ.

ἀλλ' ἦν πάλαι τις κάρτ' ἐμοὶ πνέων χάριν.

ΧΟΡΟΣ.

ἦ καὶ τέκνων εἰς ἔργον ἠλθέτην ὁμοῦ;

ΚΑΣΑΝΔΡΑ.

ξυναινέσασα Λοξίαν ἐψευσάμην.

ΧΟΡΟΣ.

ἤδη τέχναισιν ἐνθέοις ᾑρημένη;

ΚΑΣΑΝΔΡΑ.

ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη.

ΧΟΡΟΣ.

πῶς δῆτ' ἄθικτος ἦσθα Λοξίου κότῳ;

ΚΑΣΑΝΔΡΑ.

ἔπειθον οὐδέν' οὐδὲν, ὡς τάδ' ἤμπλακον.

ΧΟΡΟΣ.

ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.

---

1204 post 1203 legitur in codd. mutavit ordinem Hermannus.
1206. πάλαι τις] παλαιστής quod *rivalem* significare poterat, neque tamen ubique.
1207. ἠλθέτην ὁμοῦ Butler] ἤλθετον νόμῳ, vide G. Meyeri Gr. Gr. § 462.
1211. ἄθικτος] ἄνακτος quod male in ἄνατος mutavit Cauterus, quod cum dativo coniungi non potest.

ΚΑΣΑΝΔΡΑ.

ἰοὺ ἰού, ὢ ὢ κακά.
ὑπ᾽ αὖ με δεινὸς ὀρθομαντείας πόνος
στροβεῖ, ταράσσων φροιμίοις εἰθισμένοις.
ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους
νέους, ὀνείρων προσφερεῖς μορφώμασι;
παῖδες θανόντες ὡσπερεὶ πρὸς τῶν φίλων,
χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς,
ξὺν ἐντέροις τε σπλάγχν᾽, ἐποίκτιστον γέμος,
πρέπουσ᾽ ἔχοντες, ὧν πατὴρ ἐγεύσατο.
ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ
λέοντ᾽ ἄναλκιν ἐν λέχει στρωφώμενον
οἰκουρόν, οἴμοι, τῷ μολόντι, δεσπότῃ
ἐμῷ· φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν.
νεῶν τ᾽ ἔπαρχος Ἰλίου τ᾽ ἀναστάτης
οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
λέξασα κἀκτείνασα φαιδρύνουσά νιν,
ἄτης λαθραίου τεύξεται κακῇ τέχνῃ.
τοιαῦτα τολμᾷ· θῆλυς ἄρσενος φονεὺς
ἔστιν. τί νιν καλοῦσα δυσφιλὲς δάκος
τύχοιμ᾽ ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλαν τινὰ
οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
θύουσαν Ἅιδου μητέρ᾽, ἄσπονδόν τ᾽ ἀρὰν
φίλοις πνέουσαν; ὡς δ᾽ ἐπωλολύξατο
ἡ παντότολμος, ὥσπερ ἐν μάχης τροπῇ,
δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
καὶ τῶνδ᾽ ὅμοιον εἴ τι μὴ πείθω· τί γάρ;
τὸ μέλλον ἥξει. καὶ σύ μ᾽ ἐν τάχει παρὼν
ἄγαν ἀληθόμαντιν οἰκτείρας ἐρεῖς.

ΧΟΡΟΣ.

τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν

---

1216. εἰθισμένοις scripsi pro ἐφημένοις quod ex proximo versu repetitum est.

1228. οἷα] οἷα. φαιδρύνουσά νιν] φαιδρόνους δίκην, cf. 1109. κακὴ τέχνη] κακῇ τυχῃ. ecce vim totius sententiae; 'ignarus est quae mala ars secretae Furiae evasura sit lingua scelestae canis, tantam orationem elocuta ad eius animum confirmandum.' non satis mirari possum somnia ne dicam lemures virorum doctorum de hoc loco.

1231. τοιαῦτα Triclinius] τοιάδε.

ξυνῆκα καὶ πέφρικα· καὶ φόβος μ' ἔχει
κλύοντ' ἀληθῶν οὐδὲν ἐξῃκασμένα.
τὰ δ' ἄλλ' ἀκούων ἐκ δρόμου πεσὼν τρέχω.

ΚΑΣΑΝΔΡΑ.

Ἀγαμέμνονός σέ φημ' ἐπόψεσθαι μόρον.

ΧΟΡΟΣ.

εὔφημον ὦ τάλαινα κοίμησον στόμα.

ΚΑΣΑΝΔΡΑ.

ἀλλ' οὔτι Παιὼν τῷδ' ἐπιστατεῖ λόγῳ.

ΧΟΡΟΣ.

οὔκ, εἴπερ ἔσται γ'· ἀλλὰ μὴ γένοιτό πω.

ΚΑΣΑΝΔΡΑ.

σὺ μὲν κατεύχει, τοῖς δ' ἀποκτείνειν μέλει.

ΧΟΡΟΣ.

τινὸς πρὸς ἀνδρὸς τοῦτ' ἄγος πορσύνεται;

ΚΑΣΑΝΔΡΑ.

ἦ κάρτ' ἀκούων παρεκόπης χρησμῶν ἐμῶν.

ΧΟΡΟΣ.

τοὺς γὰρ τελοῦντας οὐ ξυνῆκα μηχανήν.

ΚΑΣΑΝΔΡΑ.

καὶ μὴν ἄγαν γ' Ἕλλην' ἐπίσταμαι φάτιν.

---

1244. ἀληθῶν] ἀληθῶς. ἐξῃκασμένα hic ἔξω ᾐκασμένα interpretare.

1245. ἀκούων] ἀκούσας contra grammaticam.

1248. iubere me tacere remedium nullum est.

1249. εἴπερ ἔσται γ' Schuetzius] εἴπερ ἔσται γ'. πω] πως parum Graece. neque sperat Chorus nunquam fore ut Agamemno moriatur.

1252. ἦ καρτ' ἀκούων παρεκόπης] ἦ κάρτ' ἄρ' ἂν παρεκόπης. tangit verba Chori 1245, τὰ δ' ἀλλ' ἀκούων ἐκ δρόμου πεσὼν τρέχω, ubi nisi grammaticae morem gerentes ἀκούων pro ἀκούσας restituissemus, etiam hic locus obscurus maneret.

1253. τοὺς ... τελοῦντας, coll. 1553, χερὸς πατρῴας ἐκτίνοντα μηχανάς] τοῦ ... τελοῦντος. sic Heimsöthius.

ΧΟΡΟΣ.

καὶ γὰρ τὰ πυθόκραντα· δυσμαθῆ δ' ὅμως.

ΚΑΣΑΝΔΡΑ.

παπαῖ, οἷον τὸ πῦρ ἐπέρχεται δέ μοι.
ὀτοτοῖ, Λύκει' Ἄπολλον, οἳ ἐγὼ ἐγώ.
αὕτη δίπους λέαινα συγκοιμωμένη
λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ,
κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσειν ποτῷ,
ἐπεύχεται θήγουσα φωτὶ φάσγανον,
ἐμῆς ἀγωγῆς ἀντιτίσεσθαι φόνον,
τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρῃ στέφη;
σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
ἴτ' ἐς φθόρον· πεσήμαθ' ὧδ' ἀμείψομαι·
ἄλλην τιν', Ἄτην, ἀντ' ἐμοῦ πλουτίζετε.
ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
χρηστηρίαν ἐσθῆτ'. ἐποπτεύσας δέ με
κἀν τοῖσδε κόσμοις καταγελωμένην ὑπὸ
φίλων τε κἀχθρῶν οὐ διχορρόπως μαθεῖν.
καλουμένη δὲ φοιτὰς ὡς ἀγύρτρια
πτωχὸς τάλαινα λιμοθνὴς ἠνεσχόμην.
καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ
ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας.
βωμοῦ πατρῴου δ' ἀντ' ἐπίξηνον μένει,
θερμῷ κοπείσῃ φοινίῳ προσφάγματι.
οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν.
ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις·

---

1261. ποτῷ Auratus] κότῳ. ἐνθήσειν Triclinius] ἐνθήσει.
1263. ἀντιτίσεσθαι Blomfieldus] ἀντιτίσασθαι.
1267. πεσήμαθ' ὧδ' ἀμείψομαι] πεσόντ' ἀγαθῶ δ' ἀμείψομαι. S. S. p. 34.
1268. Ἄτην, vide ibid.
1270. ἐποπτεύσας at postquam me vidit: h. e. debuit ante.
1271. ὑπὸ] μετά.
1272. φίλων τε κἀχθρῶν] φίλων ὑπ' ἐχθρῶν. μαθεῖν] μάτην. cfr. v. 349.
1275. μάντιν ἐμέ, h. e. τὸ μάντιν ἐμὲ εἶναι ἐκπράξας ultus.

ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας
ἄξειν νιν ὑπτίασμα κειμένου πατρός.
τί δῆτ' ἐγὼ μέτοικος ὧδ' ἀναστένω,
ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
πράξασαν ὡς ἔπραξεν· οἳ δ' εἶχον πόλιν,
οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει;
ἰοῦσα πράξω, τλήσομαι τὸ κατθανεῖν.
Ἅιδου πύλας δὲ τάσδ' ἐγὼ προσεννέπω·
ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων
ἀπορρυέντων, ὄμμα συμβάλω τόδε.

ΧΟΡΟΣ.

ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφὴ
γύναι, μακρὰν ἔτεινας. εἰ δ' ἐτητύμως
μόρον τὸν αὑτῆς οἶσθα, πῶς θεηλάτου
βοὸς δίκην πρὸς βωμὸν εὐτόλμως πατεῖς;

ΚΑΣΑΝΔΡΑ.

οὐκ ἔστ' ἄλυξις ὦ ξένοι· χρόνοι πλέῳ.

ΧΟΡΟΣ.

ὁ δ' ὕστατός γε τῶν χρόνων πρεσβεύεται.

ΚΑΣΑΝΔΡΑ.

ἥκει τόδ' ἦμαρ· σμικρὰ κερδανῶ φυγῇ.

ΧΟΡΟΣ.

ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενός.

ΚΑΣΑΝΔΡΑ.

ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ.

---

1285 in codd. post 1291 legitur. reposuit Hermannus.

1286. quare ego serva et aliena de morte queror, quae et patriam et victores idem pati viderim? μέτοικος Ahrens] κάτοικος.

1292. τάσδ' ἐγὼ Auratus] τὰς λέγω.

1299. ὦ Casaubonus] οὐ. χρόνοι πλέῳ S. S. p. 7] χρόνῳ πλέω. tempus plenum.

1300. τῶν χρόνων ibid.] τοῦ χρόνου.

ΧΟΡΟΣ.

οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.

ΚΑΣΑΝΔΡΑ.

ἰὼ πάτερ σοῦ σῶν τε γενναίων τέκνων.

ΧΟΡΟΣ.

τί δ' ἐστὶ χρῆμα, τίς σ' ἀποστρέφει φόβος;

ΚΑΣΑΝΔΡΑ.

φεῦ φεῦ.

ΧΟΡΟΣ.

τί τοῦτ' ἔφευξας; εἴ τι μὴ φρενῶν στύγος.

ΚΑΣΑΝΔΡΑ.

φόνον δόμοι πνέουσιν αἱματοσταγῆ.

ΧΟΡΟΣ.

καὶ πῶς; τόδ' ὄζει θυμάτων ἐφεστίων.

ΚΑΣΑΝΔΡΑ.

ὅμοιος ἀτμὸς ὥσπερ ἐκ τάφου πρέπει.

ΧΟΡΟΣ.

οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις.

ΚΑΣΑΝΔΡΑ.

ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν
'Αγαμέμνονός τε μοῖραν. ἀρκείτω βίος,
ἰὼ ξένοι.
οὔτοι δυσοίζω θάμνον ὡς ὄρνις φόβῳ
ἄλλως. μαθούσῃ μαρτυρεῖτέ μοι τάδε,
ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ,
ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ.
ἐπιξενοῦμαι ταῦτά γ' ὡς θανουμένη.

---

1304, 1305. inverso ordine leguntur in libris. verum ordinem restituit Heathius.

1304. nemo talia a felicibus audit.

1305. σῶν Heathius] τῶν.

1317. ἄλλως Hermannus] ἀλλ' ὡς. μαθούσῃ] θανούσῃ. τάδε] τόδε.

1320. γ'] δ'.

ΧΟΡΟΣ.

ὦ τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου.

ΚΑΣΑΝΔΡΑ.

ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω
ἐμὸν τὸν αὐτῆς· ἡλίου δ' ἐπεύχομαι
πρὸς ὕστατον φῶς, τούς τ' ἄνω τιμαόρους,
ἐχθροῖς φονεῦσι τοῖς ἐμοῖς τίνειν ὁμοῦ
δούλης θανούσης εὐμαροῦς χειρώματος.

ΧΟΡΟΣ.

ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
σκιά τις ἂν τρέψειεν· εἰ δὲ δυστυχεῖ,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσεν γραφήν.
καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ.
τὸ μὲν εὖ πράσσειν ἀκόρεστον ἔφυ
πᾶσι βροτοῖσιν· δακτυλοδείκτων δ'
οὔ τις ἀπειπὼν εἴργει μελάθρων,
'μηκέτ' ἐσέλθῃς τάδε' φωνῶν.
καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν
μάκαρες Πριάμου·
θεοτίμητος δ' οἴκαδ' ἱκάνει.
νῦν δ' εἰ προτέρων αἷμ' ἀποτίσει,
καὶ τοῖσι θανοῦσι θανὼν, ἄλλων
ποινὰς θανάτων ἄτα 'πικρανεῖ,
τίς ἔτ' εὔξαιτ' ἂν βροτὸς ὢν ἀσινεῖ
δαίμονι φῦναι τάδ' ἀκούων;

---

1323. ἡλίου Iacobsius] ἡλίῳ. τ' ἄνω] ἐμούς. οἱ ἄνω τιμάοροι qui sint docet v. 1589. horum principem fuisse solem ostendit Ἥλιον μαρτυρόμεσθα H.F. 858. conf. Oed. Tyr. 251 ἐπεύχομαι ...παθεῖν.

1327-30 choro dedit Weilius, ante eum Cassandrae attributa.

1328. quod si misera sunt, ne tum quidem finem non habent; nam spongiae tribus quattuorve ictibus haec quoque evanescunt. δυστυχοῖ Blomfieldus] δυστυχῇ.

1332. δακτυλοδείκτων sc. virorum.

1340. ἄτα] ἄγαν. conf. Suppl. 944. miser est Agamemno, tum quod ipse in mortuorum ultionem moritur, tum quod novae cladis in suam ultionem mortuus causa erit: hoc enim maxime iactabant felices antiquorum morientes *se malum nemini adtulisse.* hoc Pericles Plutarchi, hoc Cyrus Xenophontis: hoc voluerat Nicias Thucydidis.

1341. βροτὸς ὢν Bothius] βροτῶν.

ΑΓΑΜΕΜΝΩΝ.

ὤμοι, πέπληγμαι καιρίαν πληγὴν ἔσω.

ΧΟΡΟΣ.

σῖγα· τίς πληγὴν ἀϋτεῖ καιρίως οὐτασμένος;

ΑΓΑΜΕΜΝΩΝ.

ὤμοι μάλ' αὖθις δευτέραν πεπληγμένος.

ΧΟΡΟΣ.

τοὔργον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγματι.
ἀλλὰ κοινωσαίμεθ' ἄν πως ἀσφαλῆ βουλεύματα.

ΧΟΡΕΥΤΗΣ α΄.

ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω,
πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοήν.

ΧΟΡΕΥΤΗΣ β΄.

ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκει
καὶ πρᾶγμ' ἐλέγχειν ξὺν νεορρύτῳ ξίφει.

ΧΟΡΕΥΤΗΣ γ΄.

κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
ψηφίζομαί τι δρᾶν. τὸ μὴ μέλλειν δ' ἀκμή.

ΧΟΡΕΥΤΗΣ δ΄.

ὁρᾶν πάρεστι· φροιμιάζονται γὰρ ὡς
τυραννίδος σημεῖα πράσσοντες πόλει.

ΧΟΡΕΥΤΗΣ ε΄.

χρονίζομεν γάρ. οἱ δὲ τῆς μελλοῦς κλέος
πέδοι πατοῦντες οὐ καθεύδουσιν χερί.

ΧΟΡΕΥΤΗΣ στ΄.

οὐκ οἶδα βουλῆς ἧστινος τυχὼν λέγω.
τοῦ δρῶντος ἔστω καὶ τὸ βουλεῦσαι πέρα.

---

τίς ἔτ' εὔξαιτ' ἄν] τίς ἂν εὔξαιτο.
1357. πέδοι Hermannus] πέδον.
1358. nescio cuius *concilii* (non *consilii*) sim.
1359. ἔστω] ἐστι. πέρα] πέρι.

ΧΟΡΕΥΤΗΣ ζ′.

κἀγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυσμηχανῶ
λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν.

ΧΟΡΕΥΤΗΣ η′.

ἦ καὶ βίον τείνοντες ὧδ' ὑπείξομεν
δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις;

ΧΟΡΕΥΤΗΣ θ′.

ἀλλ' οὐκ ἀνεκτὸν, ἀλλὰ κατθανεῖν κρατεῖ.
πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.

ΧΟΡΕΥΤΗΣ ι′.

ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;

ΧΟΡΕΥΤΗΣ κ′.

σάφ' εἰδότας χρὴ τῶνδε θυμοῦσθαι πέρι.
τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.

ΚΟΡΥΦΑΙΟΣ.

ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι
τρανῶς 'Ατρείδην εἰδέναι κυροῦνθ' ὅπως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πολλῶν πάροιθε καιρίως εἰρημένων
τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
δοκοῦσιν εἶναι, πημονῆς ἀρκύστατ' ἂν
φράξειεν ὕψος κρεῖσσον ἐκπηδήματος;
ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι
Δίκης παλαίειν ἦλθε, σὺν χρόνῳ γε μήν·
ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις.

---

1362. τείνοντες Cauterus] κτείνοντες.
1368. θυμοῦσθαι E. A. Ahrens] μυθοῦσθαι.
1370. πληθύνομαι: maior pars mihi suadet; scilicet Coryphaeus sententias colligit.
1375. πημονῆς Auratus] πημονήν. ἀρκύστατ' ἂν Elmsleius] ἀρκύστατον. *quomodo potest* sc. etiamsi omnia feceris, tamen altior non erit indago quam quae evadi possit; ergo omnia facere licet.
1378. Δίκης παλαίειν S. S. p. 8] νίκης παλαιᾶς.

οὕτω δ' ἔπραξα, καὶ τάδ' οὐκ ἀρνήσομαι
ὡς μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον.
ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
περιστιχίζω, πλοῦτον εἵματος κακόν.
παίω δέ νιν δίς· κἀν δυοῖν οἰμώγμασι
μεθῆκεν αὐτοῦ κῶλα· καὶ πεπτωκότι
τρίτην ἐπενδίδωμι τοῦ κατὰ χθονὸς
Ἅιδου νεκρῶν σωτῆρος εὐκταίαν χάριν.
οὕτω τὸν αὑτοῦ μῦθον ὁρμαίνει πεσών·
κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν,
βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
χαίρουσαν οὐδὲν ἧσσον ἢ Διοσδότῳ
γάνει σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
ὡς ὧδ' ἐχόντων, πρέσβος Ἀργείων τόδε,
χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.
εἰ δ' ἦν πρέπον τῳ θεοῖς ἐπισπένδειν νεκρῷ,
ὅδ' ἂν δίκαιος ἦν, ὑπέρδικος μὲν οὖν·
τοσόνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
πλήσας ἀραίων, αὐτὸς ἐκπίνει μολών.

ΧΟΡΟΣ.

θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος,
ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος,
ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας
λέγω· σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις,

---

1388. μῦθον] θυμόν.

1391. Διοσδότῳ pulcre Porsonus] Διὸς νότῳ. Porsoni emendationem quare Hermannus recepit, Kirchoffius non recepit?

1395. εἰ δ' ἦν πρέπον τῳ θεοῖς ἐπισπένδειν νεκρῷ ὅδ' ἂν δίκαιος ἦν ὑπέρδικος μὲν οὖν. *quod si quem oporteret deis libare mortuum hic deberet, plus quam deberet; tantum poculum solus bibit.* nam is qui bibebat deo libabat. jam vide quid de his librarii effecerint. εἰ δ' ἦν πρεπόντως ὥστ' ἐπισπένδειν νεκρῷ τάδ' ἂν δικαίως ἦν ὑπερδίκως μὲν οὖν. ex quibus si grammatica violata sententiam aliquam emolitus eris certe pulcra et Clytaemnestrae apta irrisio evanuerit. similem corruptelam verbi θέλος in v. 934 offendimus.

1397. τοσόνδε Blomfieldus] τοσῶνδε.

ὅμοιον· οὗτός ἐστιν Ἀγαμέμνων, ἐμὸς
πόσις, νεκρὸς δέ, τῆσδε δεξιᾶς χερὸς
ἔργον, δικαίας τέκτονος. τάδ' ὧδ' ἔχει.

ΧΟΡΟΣ.

τί κακόν, ὦ γύναι, χθονοτρεφὲς ἐδανὸν
ἢ ποτὸν πασαμένα ῥυτᾶς ἐξ ἁλὸς ὄρμενον
τόδ' ἐπέθου θύος δημοθρόους τ' ἀράς;
ἀπέκανες, ἀπέταμες· ἀπόπολις δ' ἔσει,
μῖσος ὄβριμον ἀστοῖς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ
καὶ μῖσος ἀστῶν δημόθρους τ' ἔχειν ἀράς
οὐδὲν τότ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων·
ὃς οὐ προτιμῶν, ὡσπερεὶ βοτοῦ μόρον,
μήλων φλεόντων εὐπόκοις νομεύμασιν,
ἔθυσεν αὑτοῦ παῖδα, φιλτάτην ἐμοὶ
ὠδῖν', ἐπῳδὸν Θρῃκίων ἀημάτων.
οὐ τοῦτον ἐκ γῆς τῆσδε χρῆν σ' ἀνδρηλατεῖν,
μιασμάτων ἄποιν'; ἐπήκοος δ' ἐμῶν
ἔργων δικαστὴς τραχὺς εἶ. λέγω δέ σοι
τοιαῦτ' ἀπειλεῖν, ὡς παρεσκευασμένῳ
ἐκ τῶν ὁμοίων χειρὶ νικήσαντ' ἐμοῦ
ἄρχειν· ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεός,
γνώσει διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.

ΧΟΡΟΣ.

μεγαλόμητις εἶ, περίφρονα δ' ἔλακες
(ὥσπερ οὖν φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται),
λίπος ἐπ' ὀμμάτων αἵματος ἐμπρέπειν
ἄτιτον. ἔτι σὲ χρὴ στερομέναν φίλων
τύμμα τύμματι τῖσαι.

---

1408. ὄρμενον Abreschius] ὀρώμενον.
1410. ἀπόπολις Seidlerus] ἄπολις. ἀπέκανες] ἀπέδικες.
1414. τότ' Vossius] τόδ'.
1418. ἀημάτων Cauterus] τελημμάτων.
1422. παρεσκευασμένῳ] παρεσκευασμένης loco male intellecto.
1428. ἐμπρέπειν (ἐμπρέπει Auratus) Paleius] εὐπρέπειαν.
1429. ἄτιτον idem] τίετον.
1430. τύμματι Vossius] τύμμα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

καὶ τήνδ᾽ ἀκούειν ὁρκίαν φήμην θέμις·
μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς δίκην,
Ἄτην τ᾽ Ἐρινύν θ᾽, αἷσι τόνδ᾽ ἔσφαξ᾽ ἐγώ,
οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖ,
ἕως ἂν αἴθῃ πῦρ ἐφ᾽ ἑστίας ἐμῆς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ μικρὰ θράσους.
κεῖται γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηίδων μείλιγμα τῶν ὑπ᾽ Ἰλίῳ·
ἥ τ᾽ αἰχμάλωτος ἥδε καὶ τερασκόπος,
καὶ κοινόλεκτρος τοῦδε θεσφατηλόγος,
πιστὴ ξύνευνος ναυτίλων δὲ σελμάτων,
ἱστοτριβής. ἄτιμα δ᾽ οὐκ ἐπραξάτην·
ὁ μὲν γὰρ οὕτως· ἡ δέ τοι κύκνου δίκην
τὸν ὕστατον μέλψασα θανάσιμον γόον,
κεῖται φιλήτωρ τοῦδ᾽, ἐμοὶ δ᾽ ἐπήγαγεν
κείνης παροψώνημα τῆς ἐμῆς χλιδῆς.

ΧΟΡΟΣ.

Φεῦ, τίς ἂν ἐν τάχει, μὴ περιώδυνος, στρ. ά
μηδὲ δεμνιοτήρης,
μόλοι τὸν ἀεὶ φέρουσ᾽ ἐφ᾽ ἡμῖν
μοῖρ᾽ ἀτέλευτον ὕπνον, δαμέντος
φύλακος εὐμενεστάτου,
πολλὰ τλάντος γυναικὸς διαί·
πρὸς γυναικὸς δ᾽ ἀπέφθισεν.

---

1431. ὁρκίαν φήμην θέμις] ὁρκίων ἐμῶν θεμιν. ἀκούειν] ἀκούεις. quae frustra torqueas sententiam eruere conans, quae nulla inest.

1433. τ᾽ post Ἄτην addidi.

1434. *nulla spes timoris* (hoc est *nulla suspicio timoris*) recte explicant. 'atrium Timoris' explicare imperitiae est Graeci sermonis, dictionisque poeticae.

1435. ἐμῆς Porsonus] ἐμάς.

1443. ἱστοτριβής· ἱστὸν ἐποιχομένη quod bonam uxorem decebat.

1447. κείνης] εὐνῆς.

1450. ἐφ᾽ Hermannus] ἐν.

1452. καὶ quod in fine versus legebatur delevit Dindorfius.

1454. ἀπέφθισεν] ἀπέφθισεν βίον, quod Graece dici non potest. brachycatalexis nequaquam suspecta est, huiusmodi praefractae orationi imprimis apta; cf. 211, τί τῶνδ᾽ ἄνευ κακῶν (⏑ –).

ἰὼ ἰὼ παράνους Ἑλένα
μία τὰς πολλάς, τὰς πάνυ πολλὰς
ψυχὰς ὀλέσασ᾽ ὑπὸ Τροίᾳ,
νῦν δὲ τελείαν· ἃς πολύ-
μναστον ἀπηνθίσω αἷμ᾽ ἄνιπ-
τον, ἥτις ἦν ποτ᾽ ἐν δόμοις
ἐρινὺς δάμαρτος, ἀνδρὸς οἰζύς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μηδὲν θανάτου μοῖραν ἐπεύχου
τοῖσδε βαρυνθείς·
μηδ᾽ εἰς Ἑλένην κότον ἐκτρέψῃς,
ὡς ἀνδρολέτειρ᾽, ὡς μία πολλῶν
ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ᾽
ἀξύστατον ἄλγος ἔπραξε.

ΧΟΡΟΣ.

Δαιμον, ὃς ἐμπίτνεις δώμασι καὶ διφύ- ἀντ. α΄.
αισι Ταντάλίδαισιν,
κράτος τ᾽ ἰσόψυχον ἐκ γυναικῶν
καρδιόδηκτον ἐμοὶ κρατύνεις·
ἐπὶ δὲ σώματος δίκαν
κόρακος ἐχθροῦ σταθεὶς ἐννόμως
ὕμνον ὑμνεῖν ἐπεύχεται.
ἰὼ ἰὼ παράνους Ἑλένα
μία τὰς πολλάς, τὰς πάνυ πολλὰς
ψυχὰς ὀλέσασ᾽ ὑπὸ Τροίᾳ.
νῦν δὲ τελείαν· ἃς πολύ-
μναστον ἐπηνθίσω αἷμ᾽ ἄνιπ-
τον, ἥτις ἦν πότ᾽ ἐν δόμοις
ἐρινὺς δάμαρτος, ἀνδρὸς οἰζύς.

---

1455. παράνους Hermannus] παρανόμους.
1458. τελείαν sc. ψυχήν] ἃς addidi.
1459. αἷμ᾽ Wellauer] δι᾽ αἷμ.
1460. ποτ᾽] τότ᾽. ἐρινὺς δάμαρτος] ἔρις ἐρίδματος.
1468. διφύαισιν] διφυεῖσι. scholiasta: Ἀτρεῖ καὶ Θυέστῃ ἢ Ἀγαμέμνονι καὶ Μενελάῳ. incredibilem stupiditatem! Tantalidas *utriusque sexus* dici ipse poeta clamat. quamquam scholiastae lapsum interpretum omnium fides, hominem non fortunam secuta iteravit. ἐμπίτνεις Cauterus] ἐμπίπτεις.
1470. τ᾽ addidit Hermannus.
*1475-80. iteravit Kirchhoff.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

νῦν δ' ὤρθωσας στόματος γνώμην,
τὸν τριπάχυιον
δαίμονα γέννας τῆσδε κικλήσκων.
ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς
τείρει· τρέφεται πρὶν καταλῆξαι
τὸ παλαιὸν ἄχος, νέος ἰχώρ.

ΧΟΡΟΣ.

Ἦ μέγαν οἴκοις τοῖσδε στρ. β'.
δαίμονα καὶ βαρύμηνιν αἰνεῖς,
φεῦ φεῦ, κακὸν αἶνον ἀτη-
ρᾶς τύχας ἀκορέστου·
ἰὼ, ἰὴ διαὶ Διὸς
παναιτίου πανεργέτα.
τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται;
τί τῶνδ' οὐ θεόκραντόν ἐστιν;
ἰὼ ἰὼ βασιλεῦ βασιλεῦ,
πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων,
ὤμοι κοίταν τάνδ' ἀνελεύθερον
ὦ δολίῳ μόρῳ δαμεὶς
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν.
μηδ' ἐπιλεχθῇς
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον.
φανταζόμενος δὲ γυναικὶ νεκροῦ
τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ
Ἀτρέως χαλεποῦ θοινατῆρος
τόνδ' ἀπέτισεν,
τέλεον νεαροῖς ἐπιθύσας.

---

1479. τείρει] νείρει.
1494. delevit Dindorfius μοι quod post ὤμοι legebatur.
1495. ὦ addidi propter metrum.

ΧΟΡΟΣ.

Ὡς μὲν ἀναίτιος εἶ σὺ ἀντ. β'.
τοῦδε φόνου τίς ὁ μαρτυρήσων;
πῶ, πῶ; πατρόθεν δὲ συλλή-
πτωρ γένοιτ' ἂν ἀλάστωρ.
βιάζεται δ' ὁμοσπόροις
ἐπιρροαῖσιν αἱμάτων
μέλας Ἄρης, ὅποι δοκεῖ προβαίνων
ἁγνὸν κουροβόρον παρέξειν.
ἰὼ ἰὼ βασιλεῦ βασιλεῦ,
πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
ὤμοι κοίταν τάνδ' ἀνελεύθερον
ὦ δολίῳ μόρῳ δαμεὶς
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔτ' ἀνελεύθερον οἶμαι θάνατον
τῷδε γενέσθαι (τοῦδε γὰρ οὕτως)
δολίαν τ' ἄτην οἴκοισιν ἔθηκ'.
ἀλλ' ἐμὸν ἐκ τοῦδ' ἔρνος ἀερθὲν,
τὴν πολύκλαυτον ἀνάξια δράσας
ἄξια πάσχων Ἰφιγένειαν
μηδὲν ἐν Ἅιδου μεγαλαυχείτω,
ξιφοδηλήτῳ
θανάτῳ τίσας ἅπερ ἦρξεν.

---

1505. σὺ addidi.

1511. δοκεῖ] δὲ καὶ. ἁγνὸν κουροβόρον παρέξειν] πάχνα κουροβόρῳ παρέξει. *ad ea facinora progressurus est prae quibus devorati liberi fas ac ius sunt.* et certe cum matricida comparati et Thyestes et Atreus satis insontes a Graecis haberentur.

1523. τοῦδε γὰρ οὕτως *hoc sic est.* conf. 950 τούτων μὲν οὕτω ubi nollem receptam Emperii emendationem] οὐδὲ γὰρ οὗτος. mors non servilis et quod ego interfeci et quod *ense* interfeci. conf. Od. χ. 443, 462, μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην. et conf. ξιφοδηλήτῳ, v. 1529. Tum τ' addidi.

1525. τὴν πολύκλαυτον ἀνάξια δράσας ἄξια πάσχων Ἰφιγένειαν] τὴν πολύκλαυτον Ἰφιγένειαν κ.τ.λ.

ΧΟΡΟΣ.

Ἀμηχανῶ φροντίδος στερηθεὶς στρ. γ΄.
εὐπάλαμον μέριμναν
ὅπα τράπωμαι, πίτνοντος οἴκου.
δέδοικα δ᾽ ὄμβρου κτύπον δομοσφαλῆ
τὸν αἱματηρόν· ψακὰς δὲ λήγει.
δίκη δ᾽ ἐπ᾽ ἄλλο πρᾶγμα θήγεται βλάβης
πρὸς ἄλλαις θηγάναισι μοίρᾳ.
ἰὼ γᾶ γᾶ, εἴθ᾽ ἔμ᾽ ἐδέξω,
πρὶν τόνδ᾽ ἐπιδεῖν ἀργυροτοίχου
δροίτας κατέχοντα χαμεύναν.
τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
ἦ σὺ τόδ᾽ ἔρξαι
τλήσει, κτείνασ᾽ ἄνδρα τὸν αὑτῆς,
ἀποκωκῦσαι ψυχὴν, ἄχαριν
χάριν ἀντ᾽ ἔργων
μεγάλων ἀδίκως ἐπικρᾶναι;
τίς δ᾽ ἐπιτύμβιον αἶνον ἐπ᾽ ἀνδρὶ θείῳ
ξὺν δακρύοις ἰάπτων
ἀληθείᾳ φρενῶν πονήσει;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐ σὲ προσήκει τὸ μέλημα λέγειν
τοῦτο· πρὸς ἡμῶν
κάππεσε, κάτθανε, καὶ καταθάψομεν
οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων,
ἀλλ᾽ Ἰφιγένειά νιν ἀσπασίως
θυγάτηρ, ὡς χρὴ,
πατέρ᾽ ἀντιάσασα πρὸς ὠκύπορον
πόρθμευμ᾽ ἀχέων
περὶ χεῖρε βαλοῦσα φιλήσει.

ΧΟΡΟΣ.

Ὄνειδος ἥκει τόδ᾽ ἀντ᾽ ὀνείδους. ἀντ. γ΄.

---

1535. θήγεται] θήγει. μοίρᾳ] μοῖρα.
1548. ἐπιτύμβιον αἶνον Vossius] ἐπιτύμβιος αἶνος.
1559. χεῖρε Porsonus] χεῖρα.

δύσμαχα δ' ἔστι κρῖναι.
φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων.
μίμνει δὲ μίμνοντος ἐν θρόνῳ Διὸς
παθεῖν τὸν ἔρξαντα. θέσμιον γάρ.
τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων;
κεκόλληται γένος πρὸς ἄτᾳ.
ἰὼ γᾶ γᾶ, εἴθ' ἔμ' ἐδέξω,
πρὶν τόνδ' ἐπιδεῖν ἀργυροτοίχου
δροίτας κατέχοντα χαμεύναν.
τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
ἦ σὺ τόδ' ἔρξαι
τλήσει, κτείνασ' ἄνδρα τὸν αὐτῆς,
ἀποκωκῦσαι ψυχὴν, ἄχαριν
χάριν ἀντ' ἔργων
μεγάλων ἀδίκως ἐπικρᾶναι;
τίς δ' ἐπιτύμβιον αἶνον ἐπ' ἀνδρὶ θείῳ
ξὺν δακρύοις ἰάπτων
ἀληθείᾳ φρενῶν πονήσει;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐς τόνδ' ἐνέβης ξὺν ἀληθείᾳ
χρησμόν. ἐγὼ δ' οὖν
ἐθέλω δαίμονι τῷ Πλεισθενιδᾶν
ὅρκους θεμένη τάδε μὲν στέργειν,
δύστλητά περ ὄνθ'. ὃ δὲ λοιπὸν, ἰόντ'
ἐκ τῶνδε δόμων ἄλλην γενεὰν
τρίβειν θανάτοις αὐθένταισι.
κτεάνων τε μέρος
βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι
μανίας μελάθρων
ἀλληλοφόνους ἀφελούσῃ.

---

1563. θρόνῳ Schuetzius] χρόνῳ.
1565. ἀραῖον Hermannus] ῥᾷον.
1566. πρὸς ἄτᾳ Blomfieldus pulcre] προσάψαι.
1567. ἰὼ γᾶ...πονήσει iterandos esse animadvertit Burneius.
1567. ἐνέβης Cauterus] ἐνέβη.
1575. μανίας μελάθρων ἀλληλοφόνους Erfurdtius] ἀλληλοφόνους μ. μ.

ΑΙΓΙΣΘΟΣ.

ὦ φέγγος εὖφρον ἡμέρας δικηφόρου.
φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους
θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη,
ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐρινύων
τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοί,
χερὸς πατρῴας ἐκτίνοντα μηχανάς.
Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατήρ,
πατέρα Θυέστην τὸν ἐμόν, ὡς τορῶς φράσαι,
αὑτοῦ τ' ἀδελφὸν ἀμφίλεκτος ὢν κράτει,
ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
τλήμων Θυέστης, μοῖραν εὗρετ' ἀσφαλῆ,
τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον
αὐτός. ξένια δὲ τοῦδε δύσθεος πατὴρ
Ἀτρεὺς προθύμως μᾶλλον ἢ φίλως πατρὶ
τὠμῷ, κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν
δοκῶν, παρέσχε δαῖτα παιδείων κρεῶν.
τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας
ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος.
ἄσημα δ' αὐτῶν αὐτίκ' ἀγνοίᾳ λαβὼν,
ἔσθει βορὰν ἄσωτον, ὡς ὁρᾷς, γένει.
κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον,
ᾤμωξεν, ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐμῶν,
μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται,
λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ,

---

1590. αὐτός Blomfieldus] αὐτοῦ.

1595. ἔθρυπτ' scilicet Thyestes. *digitos manuum pedumque desuper frangebat: quorum veram naturam subito quum animadvertisset, expuit cibum.* rem poetico more pingit Aeschylus; Herodotus veri similius, capita manusque seorsum celata finita cena recludens. ἔθρυπτε ad Atrea referre vetat imperfectum tempus. ergo cadit Dindorfiana ratio. ἄνωθεν in partibus corporis posuit Xen. Ven. 4. 10, ἰσχία ἄνωθεν μὴ συνδεδεμένα ibid. § 8. Thucyd. 2. 49. praeterea confer Athen. p. 11*f*, εὐωχοῦνται δὲ παρ' Ὁμήρῳ καθήμενοι. οἴονται δέ τινες καὶ ἑκάστῳ τῶν δαιτυμόνων κατ' ἄνδρα (hoc est ἀνδρακάς) παρακεῖσθαι τράπεζαν. mox conf. Stat. Theb. 5. 264, *vix primus ab ira pallor et impulsis surgunt ad proelia mensis.*

1601. ξυνδίκως *simul;* sicut πανδίκως *omnino* significat.

οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.
ἐκ τῶνδε σοι πεσόντα τόνδ' ἰδεῖν πάρα.
κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς.
τρίτον γὰρ ὄντα μ' ἔλιπε, κἀθλίῳ πατρὶ
ξυνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις·
τραφέντα δ' αὖθις ἡ δίκη κατήγαγεν.
καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
πᾶσαν ξυνάψας μηχανὴν δυσβουλίας.
οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν.

ΧΟΡΟΣ.

Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
σὺ δ' ἄνδρα τόνδε φῂς ἑκὼν κατακτανεῖν,
μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον·
οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.

ΑΙΓΙΣΘΟΣ.

σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος
κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
γνώσει γέρων, ὢν χὼς 'διδάσκεσθαι βαρὺ
τῷ τηλικούτῳ σωφρονεῖν' εἰρημένον.
δεσμὸς δὲ καὶ τὸ ῥῖγος αἵ τε νήστιδες
δύαι διδάσκειν ἐξοχώταται, φρενῶν
ἰατρομάντεις· οὐχ ὁρᾷς ὁρῶν τάδε;
πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς.

---

1605. μ' ἔλιπε, κἀθλίῳ] ἐπὶ δέκ' ἀθλίῳ perridicule. Scilicet prior corruptela ΜΕΠΙΛΕΚΑΘΛΙΩΙ fuerat. quot filios Thyestes habuerit equidem me nescire fateor; sed rei ridiculae mentio fieri hic non potest. Praeterea de hac re scribenti poetae non potuit in animum non venire veteris dicti: νήπιος ὃς πατέρα κτείνων υἱὸν καταλείπει.

1619. χὼς] ὡς.

1621. ῥῖγος] γῆρας. Correxi ex Platonis Euthyphrone p. 4 *d*, ἐν δὲ τούτῳ τῷ χρόνῳ τοῦ δεδεμένου ὠλιγώρει τε καὶ ἠμέλει ὡς ἀνδροφόνου· καὶ οὐδὲν ὂν πρᾶγμα εἰ καὶ ἀποθάνοι. ὅπερ οὖν καὶ ἔπαθεν. ὑπὸ γὰρ λιμοῦ καὶ ῥίγους καὶ τῶν δεσμῶν ἀποθνήσκει.

1624. πταίσας Butler] πήσας.

ΧΟΡΟΣ.

γύναι, σὺ τοὺς ἥκοντας ἐκ μάχης μένων
οἰκουρὸς, εὐνὴν ἀνδρὸς αἰσχύνων ἅμα,
ἀνδρὶ στρατηγῷ τόνδ' ἐβούλευσας μόρον;

ΑΙΓΙΣΘΟΣ.

καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις·
ὁ μὲν γὰρ ἦγε πάνθ' ὑπὸ φθογγῆς χαρᾷ,
σὺ δ' ἐξορίνας νηπίοις ὑλάγμασιν
ἄξει· κρατηθεὶς δ' ἡμερώτερος φανεῖ.

ΧΟΡΟΣ.

ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσει,
ὃς οὐκ, ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον,
δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως;

ΑΙΓΙΣΘΟΣ.

τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς·
ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἦ παλαιγενής.
ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι
ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
ζεύξω παριεὶς οὔτι μὴ σειραφόρον
κριθῶντα πῶλον· ἀλλ' ὁ δυσφιλεῖ σκότῳ
λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται.

ΧΟΡΟΣ.

τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς
οὐκ αὐτὸς ἠνάριζες; ἀλλά νιν γυνὴ
χώρας μίασμα καὶ θεῶν ἐγχωρίων
ἔκτειν'. Ὀρέστης ἆρά που βλέπει φάος,
ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ
ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς;

---

1625. *μένων*] *νέον.* *αἰσχίνων*] *αἰσχύνουσ'.* *mulierem* Aegisthum quum appellasset eum *viri* lectum polluisse miratur.
1630. ὑπὸ] ἀπὸ.
1631. *νηπίοις* Iacobus] *ἠπίοις.*
1640. *παριεὶς*] *βαρείαις.* nequaquam laxatum vinciam sicut *σειρ. κρι. π.*
1641. *δυσφιλεῖ* Scaliger] *δυσφιλής.*

ΑΙΓΙΣΘΟΣ.

ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσει τάχα.
εἶα δὴ φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε.

ΧΟΡΟΣ.

εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.

ΑΙΓΙΣΘΟΣ.

ἀλλὰ μὴν κἀγὼ πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.

ΧΟΡΟΣ.

δεχομένοις λέγεις θανεῖν σε· τὴν Τύχην δ' αἱρούμεθα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσωμεν κακά.
ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος·
πημονῆς δ' ἅλις γ' ὑπάρχει· μηδὲν αἱματώμεθα.
στείχετ' ὦ δειλοὶ γέροντες πρὸς μόρους πεπρωμένους.
πρὶν παθεῖν ἔρξαντα καιρὸς ἦν, τάδ' ὡς ἐπράξαμεν.
εἰ δέ τοι μόχθων γένοιτο τῶνδ' ἄνη, στέργοιμεν ἄν
δαίμονος χηλῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι.
ὧδ' ἔχει λόγος γυναικός, εἴ τις ἀξιοῖ μαθεῖν.

ΑΙΓΙΣΘΟΣ.

ἀλλὰ τούσδε μοι ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι,
κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονος πειρωμένους,
σώφρονος γνώμης δ' ἁμαρτεῖν, τὸν κρατοῦντα * * *

ΧΟΡΟΣ.

οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα προσσαίνειν κακόν.

ΑΙΓΙΣΘΟΣ.

ἀλλ' ἐγώ σ' ἐν ὑστέραισιν ἡμέραις μέτειμ' ἔτι.

---

1651. πρόκωπον idem quod ἀντίκωπον quod Choeph. 163 restituemus.

1653. αἱρούμεθα Auratus] ἐρούμεθα.

1654. δράσωμεν Victorius] δράσομεν.

1655. θέρος Schuetzius] ὁ ἔρως.

1656. ὑπάρχει Scaliger] ὕπαρχε.

1657. στείχετ' ὦ δειλοὶ] στείχετε δ' οἱ. μόρους] δόμους.

1658. καιρὸς ἦν] καιρὸν χρῆν.

1659. τῶνδ' ἄνη, στέργοιμεν ἄν] τῶνδ' ἅλις γ' ἐχοίμεθ' ἄν.

ΧΟΡΟΣ.

οὐκ, ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνῃ μολεῖν.

ΑΙΓΙΣΘΟΣ.

οἶδ' ἐγὼ φεύγοντας ανδρας ἐλπίδας σιτουμένους.

ΧΟΡΟΣ.

πρᾶσσε, πιαίνου, μιαίνων τὴν δίκην· ἐπεὶ πάρα.

ΑΙΓΙΣΘΟΣ.

ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.

ΧΟΡΟΣ.

κόμπασον θαρσῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων· ἐγὼ
καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων καλῶς.

---

1672. ἐγὼ addidit Canterus. 1673. καλῶς addidit idem.

FINIS.

ASHMOLEAN MUSEUM OXFORD